Ἔξάφες τὰ συχνὰ λουτρὰ, καλόγερος ὑπάρχεις,
Βαθέα καλήκια γόρασε, καὶ φόρει τα ὡς τὴν μέσην,
Καὶ μὴ φορῇς τὰ χαμηλὰ μὲ τὰς μακρέας μήτας,
Ἀπέσω τὰ μανίκιά σου, καὶ ἀπέσω τραχηλία σου,
Ἐξάφες τὸ νὰ κάθεσε ποσῶς εἰς τὸν πυλῶνα,
Ἐξάφες τὰ προγεύματα καὶ τὰ διπλοσφουγγάτα,
Καὶ τὸ νὰ τρώγῃς σύντομα, νὰ πίνῃς κ' εἰς τὸ γέμα,
Καὶ σύναγε τὸ πλάτυσμαν καὶ θές το εἰς γωνίαν.
Μὴν βλέπῃς τὸ τρανώτερον τὸ μερδικὸν ἐκείνου.
Ἐκεῖνος ἓν πρωτοπαπὰς καὶ σύ σε καλονάρχος·
Ἐκεῖνος ἓν δομέστιχος, καὶ σὺ παρακλησιάρχης·
Ἐκεῖνος ἓν λογαριαστὴς, σὺ δὲ ἦσε θερμοδότης.
Ἐκεῖνος Δοχιάριος, σὺ δὲ κρομμυδοφύλαξ.
Ἐκεῖνος ἓν γραμματικὸς, τεχνίτης χερονόμος,
Καὶ σὺ οὐδὲ τὸν Ἀλφάβητον ἠξεύρῃς συλλαβῆσαι.
Ἐκεῖνος ἔχ' εἰς τὴν Μονὴν κᾂν δεκαπέντε χρόνους
Καὶ σὺ ἀκμὴν οὐκ ἐπλήρωσες ἑξάμηνον ἀφ' οὗλθες.
Σὺ παρατρέχεις τὴν ὁδὸν πεζὸς μετὰ τζαγγίων,
Αὐτὸς δὲ καβαλάριος διηνεκῶς ὁδεύει,
Βουτουλομένας τοῖς ποσὶν φέρων τὰς φτερνιστῆρας.
Ἐκεῖνος Οἰκονόμος ἦν, καὶ σύ σε κοπροξύστης.
Ἐκεῖνος Παλατῖνος ἦν, σὺ δὲ σκυβαλοφύλαξ.
Ἐκεῖνος ἐδικόνησεν εἰς τὴν μονὴν πολλάκις,
Καὶ σὺ ἔβοσκες τὰ πρόβατα, καὶ διοχες ταῖς κουρούναις.
Ἐκεῖνος πάντ' ἐσέβαινεν σειστὸς εἰς τὸ παλάτιν,

Καὶ σὺ ἐκαθέζουν καί βλεπες πῶς τρέχουν οἱ καροῦχοι·
Τίναν λαχένη τὸ δεμεὶς, ἐμεὶς δὲ πάλιν τίναν,
Καὶ τίναν τὸ παραβατὸν, καὶ τίναν τὸ τῆς πρόβας.
Αὐτὸς ἔνεν καλόφωνος τεχνίτης χερονόμος,
Σὺ δὲ τυγχάνεις πάρηχος, καὶ ψάλλειν οὐκ ἰσχύεις.
Αὐτὸς ψηφίζει πέρπυρα, καὶ γράφει καὶ ϛρογγύλεα,
Καὶ σὺ ψηφίζεις φάβατα, καὶ γράφεις κονηδάτα.
Αὐτὸς φορεῖ αἰγιομέταξα, καὶ σὺ τὴν σαγολέβα.
Αὐτὸς ἔχει κἂν τέσσαρα λαμπρὰ κρεβατοστρώσια.
Καὶ σὺ κοιμᾶσαι στὸ ψαθὶν, καὶ γέμεις καὶ τὰς ψήρας.
Αὐτὸς τὸν μῆναν τέταρτον εἰς τὸ λουτρὸν ὑπάγει,
Σὺ δὲ ἀπὸ πάσχα ὥς πασχα λουτρὸν οὐδέναν βλέπεις.
Αὐτὸς ψουνίζει πάντοτε λαβράκια, φιλομῆλας,
Καὶ σὺ ποτὲ οὐκ ἠγόρασας κἂν τορνεσίου χαυϊάριν.
Αὐτὸς κἂν δέκα κέκτηται λίτρας χρυσὰς λογάριν,
Καὶ σὺ φόλαν οὐδέν ἔχεις νὰ δὸς διὰ τὴν ψυχήν σου.
Αὐτὸς τὸν βλέπεις ἔδωκεν εἰς τὴν Μονὴν εἰκόνα,
Καὶ σαραντάπηχον βλατὶν, καὶ δύο κυθροκανδῆλας.
Καὶ σύλθες ἀνυπόδετος καὶ δίχα ὑποκαμίσου,
Καὶ τὸ βρακίν σου φαίνετον ἀπὸ πενήντα τρύπας.
Καὶ περιπάτει ἐμπύρετε καὶ δούλευε τοὺς πάντας.
Οὐκ εἶσε Σεβαϛοῦ παιδὶν οὐδὲ Κουροπαλάτου.
Σαρδαμαρίου παιδὶν ἦσε χαβιαροκατελύτου,
Σκουμπροπαλαμιδόπαϛου ἐγγραυλοπαϛοφάγου.
Καὶ μὴν θορεῖς τοὺς βαθρακοὺς, τὰς ἴσχας, τὰ ψησία,
Καὶ τρέχουσιν τὰ σάλια σου, καὶ συχνοκαταπίνεις.
Οὐδὲν ἔνι διαλόγου σου τάδρὴν τὸ παξυμάδιν,
Καὶ τὸ παλαμιδόκομαν, καὶ ἡ θῦνα ἡ βρωμιαρέα.
Καὶ τὸ τυρὶν τὸ κρητικὸν να γδάρῃ τὸν λαιμόν σου.
Κατάβαινε στὴν τράπεζαν, καὶ βόθα τὸν κελλάρην,

Καὶ κόφτε ξύλα, καὶ νερὸν κουβάλει στο κακάβιν,
Καὶ δίδε καὶ θερμούτζικον· οὐκ εἶσ' ἐκ τῶν ἐνδόξων.
Κομμάτια, βλέπω, ἀπέγδαρες τρανὰ καὶ γωνιδάτα,
Καὶ μαγερίαν διπίνακον· οὐκ εἶσ' ἐκ τῶν ἐνδόξων.
Καὶ πλύσιμον οὐ δέχεται καθόλου τὸ πινάκιν.
Καὶ παῦσε τὸ νὰ τρῶς πολλὰ, νὰλέθης τόσα τόσα.
Ἄπελθε φτίασε τὸ θερμὸν, δὸς νῆμαν τοῖς πατρᾶσιν.
Σπούδασε, φθάσε σήμερον γοργὸν νὰ πᾶς στὸν μύλον,
Καὶ διάβα κ' εἰς τὸ πέραμαν γοργὸν ὡς ἐξηφτέριν·
Ἐρώτησε στὸ διάβα σου κ' εἰπὲ τοὺς Βενετίκους,
Τὸ πῶς πουλιέται τὸ τυρὶν, τί ἔχει τὸ κεντηνάριν.
Ὕπαγε, λοῦσε σήμερα τὸν μέγαν Οἰκονόμον,
Λοῦσε καὶ τὸν Ἡγούμενον, παράστα καὶ τοὺς δύο.
Ὁ μὲν προστάσσει, τρίψαι με, καὶ τάρασσε τὸ σκάμμα.
Ὁ δ' ἄλλος πάλιν γέμησε, παράχυσέ με, ἂς εὔγω.
Καὶ μετὰ τούτοις ἔρχεται τρίτον ὁ Ἐκκλησιάρχης.
Πρός με σταλεὶς τὸν ταπεινὸν τὸν κατηυτελισμένον.
Πῶς ὑπομείνω, Δέσποτα, πῶς ἄνεσιν εὑρήσω;
Καὶ πῶς νὰ ζήσω; λέξον με, σὺ γὰρ γινώσκεις πάντα.
Στιγμὴν ἂν λείψω ταπεινὸς ἀπὸ τὴν ἐκκλησίαν,
Τὸ κρασοβόλιν μου πωλοῦν τὸ νεροκοπημένον,
Ἐγὼ δὲ τρέχω στὸ νερὸν, καὶ σκύφτω καὶ χορταίνω,
Καὶ παραυτίκα πιάνει με τὸ ῥίγος καὶ ἀποθνήσκω.
Ἅπαξ τὸν χρόνον ἂν λουσθῶ, πολλάκις δι' ἀῤῥωστίαν,
Καυκὶν κρασὶν οὐ δίδουν με, τὸ λέγουν εὐλογίαν.
Ἂν ἔλθῃ φίλος μου ποτὲ τὸν χρόνον, νὰ τὸν ἴδω,
Τὴν πόρταν ῥωμανίζουσιν, καὶ ἀφήνουσιν τον ἔξω.
Ἂν δόσουν στάμενον ποτὲ τὸν χρόνον, νὰ ψουνίσουν,
Λέγουσιν, Σήμερον ἰχθὺς οὐ τρώγεται στὴν μέσην.
Ἂν δώσῃ τις καὶ ψυχικὸν ἀπὸ τῶν φιλοχρίστων,

Κἂν εἷς οὐ βλέπει τὸ κουκὶν ἀπὸ τοὺς Καλογέρους.
Ἂν εἴπω, Δότε με ψωμὶν εἰς τὴν ὑποτροφήν μου,
Λαλοῦσιν, Μὴ ἐξέρχεσαι ποσῶς εἰς τὸν πυλῶνα.
Καὶ πάντως ἀνυπόδετον ἂν μὲ παραχωροῦσαν,
Νὰ ξέβενα, νὰ ἔβλεπα, καὶ οὐκ εἶχα το ἀτιμίαν.
Καὶ μᾶλλον ὅταν τρέχουσιν σύνδυο αἱ καροῦχαι.
Τὴν γὰρ πολλὴν ἀσφάλειαν τῶν ἡμερῶν τῶν ἄλλων
Οὐκ ἔςιν τόση μοι φροντὶς, ὅση τότε τυγχάνει.
Εἰ δὲ πολλάκις κρατηθῶ κ' εἰς τὴν αὐτὴν ἡμέραν,
Τοὺς πελεγρίνους τοὺς πτωχοὺς μεγάλως μακαρίζω,
Καὶ θέλω τοῦ μιμήσασθαι τὸ ἐλεύθερον ἐκείνων.
Καὶ οὐκ ἠμπορῶ ὁ κακότυχος, καὶ πῶς νὰ ζήσω οὐκ εἶδα.
Ζητῶ σαπούνιν νὰ λουςῶ, καὶ λέγουν με τὸ ζέμαν.
Ἅπαξ τὸν χρόνον ἄλογον πολλάκις ἂν ζητήσω,
Νὰ εὔγω νὰ ἰδῶ φίλον μου, μικρὸν νὰ τζαντζαρίσω,
Καὶ νὰ φανῶ στοὺς γείτονας ὅτ' εἶμαι καβαλάρης,
Τὴν πόρταν ῥωμανίζουσιν, καὶ οὐδὲ πεζὸν μ' ἀφήνουν,
Καὶ κἂν μὴ θέλω, Δέσποτα, στανέο μου δὲν εὐγένω.
Ἔχω καὶ πλεῖςα καὶ πολλὰ, καὶ τίς νὰ τὰ συγγράφῃ;
Καταλιμπάνω γὰρ αὐτὰ διὰ τὴν πολυλεξίαν,
Ἵνα μὴ φαίνωμαι βαρὺς τῷ Κράτει σου καὶ λάλος.
Ὑπὲρ δὲ ταύτης κέκτημαι μικρὰν παρηγορίαν.
Τὰ δ' ἄλλα πῶς ὑποίσωμαι ὁ κατηυτελισμένος;
Τὰ τῆς τραπέζης δηλαδὴ τοῦ γεύματος ἐκείνου,
Ὅταν τὰ τρία δώσουσιν καὶ πάντες συναχθῶσιν,
Καὶ ψάλλουν τὸ Ὑψώσω σε, καὶ ἄρξονται τοῦ τρώγειν.
Καὶ τίς ὑποίσει καθορᾷν τὰ πλήθη τῶν ἰχθύων,
Τῶν Ἡγουμένων ἔμπροσθεν προκείμενα συνήθως;
Πρῶτον διαβαίνει τὸ ἔγζεςον ψησόπουλον τουρδάτον,
Καὶ δεύτερον ἀκρόβραςον μαζεῖ μ' ἀρβελισμένον,

Καὶ τρίτον ὀξυνόγλυκος κροκάτη μαγειρία,
Ἔχουσα στάχος σύσγουδον καριόφυλλον τριψίδιν,
Ἀμανιτάριν ὄξος τε, καὶ μέλιν ἐκ τὰκάπνιν.
Καὶ μέσα κεῖται κόκκινος μεγάλη φιλομῆλα,
Καὶ κέφαλος τρισπίθαμος αὐγάτος ἐκ τὸ ῥύγιν,
Καὶ συναγρίδα πεπανὴ, ὦ θέ μου, μαγερία!
Νὰ ἔφαγα τὰ θρύμματα, καὶ νάπια τὸ ζουμίτζην,
Καὶ Χιώτικον νὰ κότζοσα κἂν τέσσαρα μουχροῦτια,
Καὶ νὰ ῥευξάμην ἔμνοςα, καὶ νὰ παρηγορήθην.
Καὶ τέταρτον ὀπτούτζικα καὶ ἀπέκει τὰ τηγάνου,
Κομμάτια σιακοκόμματα, τριγλία μουςακάτα,
Καὶ διπλοτήγανον παχὺν μεγάλες ἀθερίνες,
Καὶ κιθαργὸς ὀπτούτζικος ἀκέρεος μὲ τὸ γάρος,
Τὸ καρναϐάδιν ἄνωθεν ὡς κάτω πεπασμένος,
Καὶ παλιν ἀπολάκτισμαν μεγάλου λαϐρακίου.
Καὶ τὶς ἀκρήτις ἕτερος ἐκεῖ νὰ βρέθη τότε,
Καὶ τὰς ποδέας του νάμπηξεν, νὰ πῆρεν τὸ ῥαϐδίν του,
Καὶ μέσον νὰ κατεϐηκεν εὐθὺς ὡς ἀγουρίτζης,
Καὶ νὰ τοὺς ἐσυνέτριψεν τοὺς παλαμναίους μίσους.
Πολλάκις με παρέτρινεν ὁ λογισμὸς νὰ γέρθω.
Ναμπῶ στὴν μέσην καὶ ναυγῶ, νὰ δώσω καὶ νὰ πάρω,
Μὴ νὰ τζακόσω πίνακαν κἂν ἕναν εἰς τὰς χεῖρας,
Καὶ πιάσω καὶ συντρίψω τον, καὶ σφίξω τοὺς ὀδόντας,
Καὶ σύντζεφλον λαφύξω τον, καθάπερ ἄρνα λέων·
Ἀλλ' ὁ χορὸς, ὦ Δέσποτα, τῶν σωματοφυλάκων,
Οὐδ' ἀτενίσαι καὶ ἰδεῖν κἂν ὅλως μὲ ἀφείνουν.
Μετὰ δὲ τὴν παράθεσιν ὧν εἴρηκα βρωμάτων,
Εἰσῆλθεν, ὢ τοῦ θαύματος, καὶ τὸ μονοκυθρίτζιν,
Ὑπεραθνίζον ὀλιγὸν, καὶ πέμπον εὐωδίαν.
Ὅμως, εἰ βούλει, μάνθανε καὶ τὰ τοῦ μονοκύθρου.

Κραμβὶν καρδίαι δώδεκα χονδραὶ καὶ χιονάται,
Καὶ ξιφιοτράχηλον παστὸν, Κυπρίνου ἀπαξυμάδιν,
Γλαύκους χλωροὺς κἂν εἴκοσι, ἀπάκιν βερζητίκιν,
Αὐγὰ κἂν δεκατέσσαρα καὶ κρητικὸν τυρίτζιν,
Ἀθότυρα κἂν τέσσαρα καὶ βλάχικον ὀλίγον,
Καὶ λίτραν μίαν ἔλαιον, πιπέριν φούκταν μίαν,
Σκόρδα κεφάλια δώδεκα καὶ τζήρους δεκαπέντε,
Ἀπαλαρέα μουχρούτινος, γλυκὺν κρασὶν ἀπάνω.
Ἀνακομπόματα τρανὰ, καὶ τότε βλέπε βοῦκας.
Αἲ τζούκα ποῦ τὰ χώρεσες, καὶ πῶς οὐδὲν ἐσχίστης!
Ἐκείνη βαπτιστῆρά τον, οὐκ εἶτον τζουκαλούδα.
Ἐκίνησαν τὰ σάλια μου, Χριστὲ, νὰ τὴν ἐπιάσα,
Χριστέ μου, νὰ τὴν ἔπιασα σὰν ἦτον φουσκομένη,
Νὰ κάθησα στὸ πλάγιν της, νἀρξάμην ῥουκανίζειν,
Νὰ χρίστην τὸ μουστάκιν μου, νὰ κράτησεν λιγδίτζαν,
Νἀγκώθην ἡ κοιλία μου, νἀπλώθην ἡ ψυχή μου!
Καὶ τότε νἆδες, Δέσποτα, πηδήματα νεωτέρου,
Καὶ καλογέρου ταπεινοῦ γυρίσματα καὶ κτύπους.
Καὶ ταῦτα μὲν τυγχάνουσι τὰ περὶ τῶν βρωμάτων·
Τῶν δὲ πομάτων ἄδηλα καὶ ξένης ὀπτασίας·
Γεύσεως γὰρ οὐδέποτε μετέλαβον ἐκείνων,
Τῆς εὐωδίας μόνης τε καὶ θέας μαρτυρούσης.
Ῥοδοβολεῖ γὰρ, Δέσποτα, τούτοις εὐθὺς ὁ πίνων,
Καὶ ῥεύγεται συχνότερον, καὶ ὑποκοιμᾶται ἡδέως.
Ἐγὼ δὲ νῦν καθέζομαι καὶ ῥεύγομαι τὸν ψόφον,
Καὶ καταπίνω πάντοτε χολόκοκκα πικρίας,
Συχνὰ περιστρεφόμενος, καὶ βλέπων τὸν κελλάρην,
Καὶ πυκνογυριζόμενος μὴ νἀύρω κἂν σαβρήδιν.
Ἢ παλαμίδαν ἢ σκουμπρὶν, ἢ θύνναν βρωμιαρέαν.
Καὶ μόλις νὰ μᾶς φέρουσιν θυννόκομαν δαμάκιν

Ἄσπαστρον, ἄξυστον, σαχλὸν, ἀνάλατον, βρωμιάριν·
Καὶ γὰρ λεπτοκοποῦσίν το, ὡς οἱ χαβιαροποῦλοι,
Καὶ λέγουν ἡμᾶς, Σπαστρέβεσθε, πατέρες, μὴ βλαβῆτε.
Καὶ πρὶν τὸ πιάσω χάνεται, καὶ φεύγει ἐκ τὸ σκουτέλιν·
Εἰ δὲ παγώσει, κόλυται, καὶ ἀπέκει οὐκ ἀνασπᾶται,
Καὶ ἀπὸ μανίας μου ῥίπτω το ἀπὸ τοῦ σκουτελίου·
Καὶ μὲ ψωμὶν λιγούτζικον, καὶ δόλιον ἁγιοζούμιν,
Διαβάζω τὰς ἡμέρας μου στενὰς καὶ τεθλιμμένας,
Καὶ πίνω καὶ τὸ γάρισμαν αὐτὸ τὸ ὑδρομένον,
Καὶ πρίσκεται ἡ κοιλία μου· τὰ δ' ἄλλα δὲν τὰ λέγω.
Ἄλλον γὰρ τί χερότερον παρὰ τὸ νὰ ψωνίσω,
Ἐκεῖνοι τρώγουν βατραχοὺς, ψησία, φιλομήλας,
Καὶ μᾶς λέγουσιν, Τρώγετε ὅλον τὰς παλαμίδας·
Πρόπερσυ γὰρ ἐπιάσθησαν πολλαῖς οἱ παλαμίδες,
Καὶ πάντες ἀγάπησάν τες καὶ μαγειρεύασίν τες.
Ἀφ' οὗ πιασμὸς δὲ γέγονεν καὶ ἀνατροπὴ στὰς κύρβας,
Καὶ πάντες ταῖς ἐχόρτασαν, κᾂν εἷς οὐκ ἔχρηζέν τας,
Εἰς πέντε τὰς ἐκόπτασιν κ' εἰς ἕξη ἀπὸ μανίας.
Καὶ χρόνον ἔχω, πίστευσον, ὁποῦ φυγον ἀπέκει,
Νοσηλευθεὶς παρὰ μικρὸν ἀπὸ τὰς παλαμίδας·
Παρὰ μικρὸν δὲν ἔλειψεν ἵνα μὲ θανατώσουν.
Καὶ παλαμίδαις ποταπαῖς σαχναῖς καὶ βρωμισμένες,
Ὅμως ἐτρώγαμεν αὐταῖς πεινῶντες καθ' ἑκάστην.
Μακάρη νὰ ταῖς εὕρισκα! καὶ πάλε καὶ τρωγά τες.
Τὸν ἔγκλειστον οὐκ εἶδα τον νὰ φάγῃ παλαμίδαν.
Καὶ πάντες τὰς ἠγάπησαν, καὶ τρωγαν παλαμίδας.
Καὶ λέγουσιν, Καλαὶς ἔνε, καὶ ἂς μᾶς φτιάσουν καὶ ἄλλας.
Ἐγὼ δὲ μόνος ἀῤῥωστῶ, καὶ οὐ θέλω νὰ τὰς ἴδω,
Φοβοῦμαι διὰ τὴν βλάβην των, φιλάσθενος ὑπάρχω.
Ἂν ἀῤῥωστῶ καὶ κίτομαι, τὴν παλαμίδαν βλέπω.

Τὸ πῶς νὰ ζήσω ἐξαπορῶ μὲ ταύτας τὰς τζερδέλας.
Καθέζομαι ςὴν τράπεζαν, καὶ παλαμίδαν βλέπω,
Μὴ ἔχων δ' ἄλλο τι φαγεῖν τρώγω τὰς παλαμίδας,
Παραδιδάζω πάντοτε καὶ τρώγω την αὐτίκα,
Πρὸς τοῦ Ἡγουμένου πάντοτε τοὺς μίσους ἀποβλέπω.
Ἀφ' οὗ δὲ δῶ τι πάρουσιν σαβοῦρα τὰ σκουτέλια,
Πάλιν ἐξαναπιάνω την, μαλάσσω καὶ τζιμπῶ την,
Μυρίζομαί την, βλέπω την, εἰς ὄρεξιν μὲ φέρνει,
Σπουδάζω τάχα γλήγορα μὴ νὰ τὰς ἐξαλείψω,
Νὰ μηδὲ χνοῦς εὑρίσκεται κἂν ὅλως παλαμίδας,
Καὶ πάλιν ἐπὶ τὴν αὔριον εὑρίσκω ἔμπροσθέν μου,
Καὶ, κἂν μὴ θέλω, τρώγω την· καὶ πέ με τί νὰ φάγω;
Ἐγὼ γὰρ ἠγανάκτησα τρώγειν τὰς παλαμίδας.
Τὴν νύκταν βλέπω ὁράματα, καὶ μοιάζουν παλαμίδας.
Ἂς ἐγενόμην ἔπαρχος κἂν δεκαπέντε ἡμέρας,
Νὰ ὥρισα νὰ τὰς ἔδωκαν μαγγλάβια ςὸν Εὐγένιν,
Νὰ ἔκοψα τὰς σάρκας των, νὰ τὰς ἐμασσησάμην!
Καὶ τότε ἂς ἐπουλούντασιν ὀκτὼ καὶ ἐννέα ςὴν φόλην.
Ἀλλ' ἵνα μήπως φορτικὸς δόξω τοῖς ἀδελφοῖς μου,
Καὶ μέμψεταί με ὁ Ἡγούμενος, καὶ πάρουν τὸ κρασίν μου,
Ἄρχομαι τρώγειν τίποτε, μασσοῦμαι κἂν ὀλίγον,
Καὶ κατ' ὀλίγον ὀλιγὸν συντρίβω τὰ ὀστᾶ μου.
Εἰ δὲ πολλάκις πλανηθῇ κἂν εἷς τῶν καλογέρων,
Καὶ μουρμουρίσῃ τίποτε, καὶ ἀναστενάξῃ ὀλίγον,
Ἢ λόγος ἐξεπέσῃ τον ποσὸς ὀλιγωρίας,
Οὐδὲ συνφθάνει ὁ ταπεινὸς νὰ πῇ τὸ Κύριε λέησον,
Ἢ κἂν τὸ κρασοβόλιν του τὸ ξίδιν νὰ πληρώσῃ·
Αὐτίκα γὰρ ἀνάρπαςον σηκώνουν τον ἀπέκει,
Βιτζέας συνάγει ὁ ταπεινὸς πολλὰς καὶ ἀναριθμήτους,
Ὡς τοῦ νὰ τὸν εὐγάλουσιν συρόμενον ἀπέκει,

Οἱ δ' ἄλλοι καταπίνουσιν, ἀντὶς νερὸν, φαρμάκιν.
Ἀντὶς ψωμὶν, τὸν δρόλικον, ἀντὶς φαγὶν, τὸν σφάχτην.
Πίνουσιν ὄξος καὶ χολὴν ἀντ' ὕδατος καὶ οἴνου.
Κάθονται γὰρ οἱ κόλακες πλησίον τοῦ ποιμένος,
Τὰ παρ' αὐτοῦ γινόμενα μεγάλως ἐπαινοῦντες,
Καὶ πρὸς ἡμᾶς φθεγγόμενοι μετὰ θυμοῦ τοιάδε·
« Τοῦ Μοναχοῦ, τοῦ ϛοματᾶ, τοῦ λάλου, τοῦ φλυάρου,
« Φοβείτω τὸ παράδειγμα τοὺς μονοτρόπους πάντας,
« Ἵνα μὴ περιπέσῃ τις κακίϛοις τοῖς ὁμοίοις·
« Ἄρχοντας γὰρ οὐ δίδωσιν ὁ νόμος καθυβρίζειν. »
Ὦ τῆς σοφῆς σου, Δέσποτα, πολλῆς μακροθυμίας!
Ὥσπερ ἐδείκνυσο σαφῶς πρὸς τοὺς Φιλοθεΐτας.
Εἰ γὰρ μικρὸν ἠθέλησας τὰ τούτων ἐξετάσαι,
Ἐπέγνως κἂν ἐξ ἀκοῆς ψιλῆς καὶ μόνης, Ἄναξ,
Τὰς τοῦ πατρὸς καὶ τοῦ υἱοῦ εἰς ἡμᾶς ἀδικίας.
Μεγάλως ἐξεμίσησα τὰς τούτων ἀνομίας.
Καὶ πῶς οὐ πάσω κεφαλὴν, καὶ πῶς οὐ πάσω κόνιν,
Τὸ τυπικὸν τοῦ κτήτορος βλέπων ἠμελημένον,
Καὶ πᾶσαν τὴν συνήθειαν τὴν θείαν ἐξωσμένην,
Βασιλικὰ προστάγματα συνοδικάς τε κρίσεις,
Εἰς μάτην προσγινόμενα καὶ κατηυτελισμένα,
Καὶ μὴ διόρθωσίν τινα δυνάμενα ποιῆσαι;
Τάχα τε προφητεύομαι καὶ λέγω το μεγάλως·
Ὡς εἰ θελήσεις, Δέσποτα, τὰ τούτων ἐρευνῆσαι,
Καὶ δώσεις τὴν ἐκδίκησιν τοῖς νῦν ἀδικουμένοις,
Ὡς κόνις λεπτυνθήσεται βαρβάρων ἅπαν θράσος.
Τὴν τοῦ Χριϛοῦ μιμούμενος εὐθέως συμμαχίαν.
Λοιπὸν εὐθυδρομήσωμεν ἐπὶ τὰς διοικήσεις,
Ἵνα καὶ τούτων ἀκριβῶς τὰ πάντα καταμάθῃς.
Οὐκ ἔνε τοῦτο, Δέσποτα, δαιμονικὸν, εἰκάζω;

Οὐκ ἔνε τοῦτο τῶν ἐμῶν ἁμαρτημάτων ἔργον;
Ἐκεῖνοι νὰ χορτένουσιν, κ' ἐγὼ νὰ μὴν χορτένω;
Ἐκεῖνοι νὰ ϛαυλίζονται ἐκ τὸ φαγὶν καθώραν,
Καὶ γὼ νὰ ὁμοιάζω πάντοτε τὸν λιμοταγισμένον;
Καὶ οἱ πάντες νὰ μὲ κράζουσιν, Ὁ σπαταλοκρομύδης;
Ἐκεῖνοι νὰ χορτένουσιν τὰ πρῶτα τῶν ἰχθύων,
Ἐμένα δὲ νὰ δίδουσιν θύναν τὴν βρωμισμένην;
Ἐκεῖνοι νὰ κοτζόνουσιν τὸ Χιώτικον εἰς κόρον,
Ὁ δὲ δικός μου ὁ ϛόμαχος, νὰ πάσχῃ ἀπὸ τὸ ξίδιν;
Καὶ κὰν ἂς ἐγεμίζασιν τὸ ἐμποτόπουλόν μου·
Ἀμὴ λαλῶ, καὶ λέγουν με, Περπάτει στὸ πηγάδιν.
Ἐκεῖνοι νὰ χορτένουσιν τὸν ὕπνον καθεκάϛην,
Ἐγὼ δ' ἂν λείψω Ἀντίφωνον αὐτίκα νὰ ποθνήσκω;
Αὐτοὶ καβαλικεύουσιν, διαβαίνουσιν τὴν πόλιν,
Καὶ μὲ τοὺς ὀφικάτορας καὶ μὲ πολὺν ὀψίκιν,
Καὶ ὡς διεμέναν λέγουσιν, Ῥωμάνισε τὴν πόρταν,
Νὰ μὴ μὲ ἀφήνουν κὰν πεζὸν νὰ βγένω νάρκουδίζω.
Εἰ δὲ καὶ ἀφήσουν με ποτὲ νὰ ξέλθω πρὸς ὀλίγον,
Καὶ οὐ φθάσω εἰς τὸν Ἀπόϛολον, καὶ οὐκ εἶμαι ϛὸ Βαγγέλιον,
Ἀφήνουσιν με νηϛικὸν τὴν ἅπασαν ἡμέραν.
Ἐκεῖνοι Θεὸς καὶ Κύριος ψάλλουσιν καθημέραν,
Ἡμᾶς δὲ λέγουν, Σήμερον ψάλλετε Ἀλληλούϊα.
Εἴδε καὶ κατακρίνωμεν τοὺς νηϛευτὰς πατέρας·
Εἰ γὰρ καὶ βρῶσιν τρέφονται διηνεκῶς ἐκεῖνοι,
Ἀλλ' οὖν τὰς δύο πάντοτε νηϛεύουσιν ἡμέρας,
Τετράδα καὶ παρασκευὴν ξηροφαγοῦσιν ὅλως.
Ἰχθὺν γὰρ οὐκ ἐσθίουσιν, Ἄναξ, ποσῶς ἐνταῦθα,
Εἰ μὴ ψωμίτζιν καὶ κρασὶν, ϛακοὺς καὶ ὄρια παγούρια,
Καραβιδίτζας ἐκζεϛὰς, τηγάνου καριδίτζας,
Καὶ λαχανίτζιν καὶ φακὴν μὲ ὀϛριδομυδίτζια,

Καὶ μισὸν γόμον, Δέσποτα, τὰ κτένια τὰς σουλήνας,
Καὶ φαβατίτζιν ἀλεςὸν, ὀρίζιν μὲ τὸ μέλιν,
Φασόλιν ἐξοφθάλμιςον, ἐλαίας καὶ χαυϊαρίτζιν,
Καὶ πορινὰ ἀνοτάραχα διὰ τὴν ἀνορεξίαν,
Μηλίτζια καὶ φοίνικας, σύκα [καὶ] καρυδίτζια,
Καὶ ἀςαπίδας ὀλιγὰς, καὶ τὸ διὰ κυτρίου.
Τὰς γὰρ ἡμέρας πάντοτε τὰς θείας τὰς ῥηθείσας,
Τοιαύταις ἐκδιδόασιν αὐτοὺς ξηροφαγίαις.
Οὐδὲ γὰρ οἶνον πίνουσιν Χιώτικον εἰς κόρον,
Ἵνα καὶ τί χωνεύσουσιν ἀπὸ ξηροφαγίας·
Ἀλλὰ γλυκὺν Μιτυληναῖον, καὶ Κρητικὸν ἀθύρην,
Ἵνα χυμοὺς ἐκβάλλωσιν τοὺς τῆς ξηροφαγίας.
Ἡμᾶς δὲ προτιθέασιν κυάμους βεβρεγμένους,
Τὴν δέ γε δίψαν παύουσιν ἐκ τῶν κυμινοθέρμων,
Τὸ Τυπικὸν φυλάσσοντες καὶ νόμους τῶν Πατέρων.
Καλόγερος ἐλάλησεν; Τὸ Τυπικὸν ἂς φθάσει,
Γοργὸν ἂς τ' ἀναγνώσουσιν μεγάλως εἰς τὴν μέσην.
« Κακὸν, κακὸν, κραυγάζουσιν, Πάτερ, τὸ λελεγμένο.
» Ἀπελαθήτω τῆς Μονῆς ὁ φλύαρος ἐν τάχει,
» Ἵνα μὴ βλάψῃ καὶ πολλοὺς ἐκ τῶν ἀφελεστέρων ».
Ὦ τοῦ μεγίστου πτώματος, ὢ τῆς ἀπανθρωπίας!
Ἄξιον γὰρ ἐκρίνασιν τὸν Μοναχὸν θανάτου.
Βούλει μαθεῖν, ὦ Δέσποτα, καὶ τί τὸ πταῖσμα τούτου;
Ὄξυνον ἔνε τὸ κρασὶν, ὁ Μοναχὸς εἰρήκει,
Καὶ παρευθὲς κατάδικος ἐφάνη παρ' ἐκείνων.
Οἱ δέ γε καταλύοντες τὸ Τυπικὸν ἐκείνων
Ἀναίτιοι ὑπάρχουσιν καὶ δίκαιοι ὁρῶνται.
Ὢ τῆς χριστομιμήτου σου πολλῆς φιλανθρωπίας!
Ὄντως τυγχάνεις, Μανουὴλ, θεὸς ἐπίγειός τε,
Ἐμμανουὴλ Παμβασιλεῦ παρὰ σαρανταπέντε.

Καὶ γὰρ ἡ κλῆσις ἄνωθεν ἐδόθη φερωνύμως.
Καὶ ταῦτα μὲν, ὡς ἔχουσιν, ὁ δοῦλός σου προσλέγω.
Ἡμεῖς δὲ γοῦν ἐσθίομεν καθ' ὅλου τὸ ἁγιοζούμιν·
Καὶ σκόπει τοῦ ὀνόματος αὐτοῦ τὴν ποικιλίαν.
Κακάβιν ἔνε, Δέσποτα, διώτιν μετρῶν τεσσάρων.
Καὶ ἕως ἄνω οἱ μάγεροι γεμίζουσίν το ὕδωρ,
Καὶ βάνουσιν κρομύδια κἂν εἴκοσι κολέντας,
Καὶ πῦρ ἐξάπτουσιν πολὺ κατὰ τοῦ κακαβίου.
Καὶ βλέπε τότε πράγματα, καὶ ξένας ὀπτασίας.
Ἐκεῖ νὰ ἴδες τὸν Χονδρὸν μετὰ τοῦ Καλολέωντος,
Πῶς κουρταλίζουν ἔμνοστα, καὶ κροῦσιν καὶ κλοστάτα,
Καὶ παίζουσιν τὸ λέγουσιν οἱ παῖδες, Εἶπα, εἰπέτε,
Καὶ ἀφότου κουρταλίσουσιν καὶ παίξουν, ὡς τὸ ἔθος,
Λαμβάνουσιν, ὦ Δέσποτα, καλὴν φιλοτιμίαν·
Εἰς κλῆσιν γὰρ βαπτίζονται τῆς ἁγίας Τριάδος.
Στάσει γὰρ τρὶς ὁ μάγειρος τὸ ἔλαιον ἀπέσω,
Καὶ βάλλει καὶ θρυπτόξυλα τινὰ διὰ μυρωδίαν,
Καὶ τὸ ζουμὶν ἐκχέει το ἐπάνω τῶν ψιχίων,
Καὶ δίδουν μας καὶ τρώγομεν, καὶ λέγουν το Ἁγιοζούμιν.
Κάλει λοιπὸν, Ἡγούμενε, τοῦτο Θερμαλατέαν,
Καὶ μὴν καλῇς Ἁγιόζουμον διὰ τὴν ὁμωνυμίαν.
Τοῦτο δαμάζει πάντοτε τοὺς ταπεινοὺς Ἀβάδας.
Τί μαγειρεύουν σήμερον; καὶ λέγουν, Ἁγιοζούμιν.
Σηκώνω τὸ πινάκιν μου, καὶ βλέπω τὸ σκουτέλιν,
Καὶ γέμει ὡς ἄνω θρύμματα, καὶ λέγουν τ' ἁγιοζούμην.
Κουντῶ τὸν συψωμήτην μου, σύρνω τον ἐκ τὸ μάτιν,
Καὶ λέγω τί ἐν τὸ τρώγομεν· καὶ λέγει, Ἁγιοζούμιν.
Καὶ πίστευσον, οὐ ψεύδομαι, μεγάλως ἀληθεύω.
Τῶν γὰρ κρομμύων πάντοτε συντόμως ἡ δριμύτης,
Καὶ ὁ ἰὸς τοῦ λέβητος ἐπάνω πρασινίζει.

Καὶ πίςευσον, ἐμάνην το, καὶ οὐ θέλω νὰ τὸ φάγω·
Πεινῶν δὲ πάλιν τρώγω το, καὶ εἰπέ με, τί νὰ φάγω;
Πάντως πεινῶν ἀγανακτῶ, κινοῦμαι εἰς τὸ ἁγιοζούμιν,
Καὶ λέγω ναῦρα θρύμματα καλὰ καὶ νὰ χορτάσω.
Ἐκεῖνοι τρώγουν βαθρακοὺς, ἡμεῖς δὲ τἀγιοζούμιν.
Ἐκεῖνοι πάντα πίνουσιν τὸ Χιώτικον εἰς κόρον,
Ἡμεῖς δὲ τὸ Βαρνιώτικον τὸ νεροκοπημένον.
Ἐκεῖνοι πάλιν τὸ γλυκὺ μετὰ τῶν κουτρουβίων,
Ἡμεῖς δὲ τὸ νερούτζικον μετὰ τοῦ πινακίου.
Ἐκεῖνοι τὸ σεμίδαλιν, ἡμεῖς τὸν πιτυροῦντα.
Ἐκεῖνοι τἀφρατούτζικον ἀεὶ μετὸ σησάμιν,
Ἡμεῖς δὲ τὸ χονδρόχυλον τὸ στακτοκυλισμένον.
Ἐκεῖνοι τὰ λαλάγγια συχνάκις μετὸ μέλιν,
Ἡμεῖς δὲ τὸ λελέλεβε συχνῶς μετὸ φαρμάκιν,
Ἐκεῖνοι τὰ γλυκύσματα μετὰ τῶν δισκαρίων,
Ἡμεῖς δὲ τὰ χολόκουκα καθ' ὥραν μὲ τὸ μόδιν·
Ἐκεῖνοι τὰ νομίσματα συνάγουσιν ἀπλήστως,
Ἡμᾶς δὲ κατηχίζουσι περὶ φιλαργυρίας,
Καὶ τὸ μὴ κτᾶσθαι πώποτε χαλκὸν ἐπὶ τὴν ζώνην.
Ἐκεῖνοι τὰ λαβράκια καὶ τοὺς τρανοὺς κεφάλους,
Ἡμεῖς δὲ τὸ βρωμόκαπνον ἐκεῖνο τὸ Ἁγιοζούμιν.
Ἐκεῖνοι τὰ Γοφάρια, τὰς ἴσχας τὰ ψησία,
Ἡμεῖς δὲ πάλιν τρώγομεν αὐτὸ τὸ, Πῶς τὸ λέγουν;
Ἔχει τὸ ὄνομα καλὸν παράξενον ὁκάτι,
Καὶ τζυγαρίζεται κἂν εἷς ὡς τοῦ νὰ τὸ πιτύχῃ.
Ἔπληξα τώρ' ἀπέθανα, σκουλήκια νὰ τὸ φάσιν.
Ἴδε τὸ λέγουσιν τινὲς, ἐὰν σπουδάζῃς κάτζε.
Ἔδε κεφάλιν σκορδαλοῦ, ὁκάτι ἐγὼ ἐμαγεύθην.
Ἐδάρε ἂν ἦσαν κέφαλοι, ψησία, φιλομῆλες,
Ἂν τύχῃ νὰ τὸ πέτυχα, ἴδε μυςήριον μέγα·

Στὴν γλῶσσάν μου γυρίζεται, Δαίμων, ἀνάθεμά σε.
Συγχάρισε τὸν δρόλικον, μόλις ἐπέτυχά το.
Ἰδὲ τὸν βρῶμον ποῦ ἔκειτο, καὶ γὼ τζυγαριζόμην.
Πεῖσμαν ἐθέκασιν αὐτοὶ νὰ μὲ τὸ παραβάλουν.
Ἀλλ' οὐδεγώ με χωρικὸς, νὰ μὴν τὸ κρῶ καὶ ξάπτει.
Αἳ θλίψιν, ἅγιε Δέσποτα, τὴν ἔχω εἰς τὴν ψυχήν μου,
Ἕδε καὶ παραπόνεσιν, ἔδε μυστήριον μέγα.
Ἀλλὰ καὶ ταῦτα φέρομεν ἄκοντες τὰ λεχθέντα,
Μικρόν τι παρηγόρημα κεκτημένοι σπανίως.
Τίς δὲ καὶ τὴν ἀσφάλειαν τῆς πόρτας ὑπομένει;
Οὐ γὰρ ἰσχύει τό λοιπὸν ἀλήθεια πολλάκις,
Ὥσπερ τὸ ψεῦδος δύναται πρὸς ἐκβολὴν τῆς θύρας.
Μυρίας γὰρ εἰ λέγει τις καθ' ὥραν ἀληθείας,
Οὐκ ἂν μαλάξῃ πώποτε τὸν νοῦν τοῦ Ἡγουμένου,
Εἰ μή πη ψεῦδος τὶ καλῶς πεποιημένον,
Βομβοκτυπίζον στερεῶς τὰ ὦτα τοῦ ποιμένος·
Καὶ σύντομον ἐξέρχεται γοργὸν εἰς τὸν πυλῶνα.
Καὶ πρόσχες καὶ τὴν δύναμιν τοῦ ψεύδους ἵνα μάθῃς,
Καὶ νὰ γελάσῃς τῶν πολλῶν ἐφευρεμάτων λόγους.
Πάτερ, πετζὶν οὐδέν ἔχω, νἀνήβω νἀγοράσω,
Καὶ μελανίτζιν ὀλιγὸν, καὶ τώρα γιά που φθάνω.
Πάτερ, ῥογεύει ὁ Βασιλεὺς ὅλα τὰ μοναστήρια·
Ἄς εὔγω, ἄς ἴδω τί διδουν, καὶ τώρα γιά που φθάνω.
Ἐκόπην τὸ ζωνάριν μου, νἀνέβω νὰ γοράσω,
Καὶ χρήζω καὶ καλίγια, καὶ τώρα γιά που φθάνω.
Πάτερ, πανίτζιν ἔδωκα προχθὲς εἰς τὸν βαφέαν,
Ὑπάγω νὰ ζητήσω το, καὶ τώρα γιά που φθάνω.
Πάτερ νἀνήβω στὸν Χριστὸν εἰς τὴν Χαλκὴν ἀπάνω,
Νἀπομυρίσω ὅτι ἐρυγῶ, καὶ τώρα γιά που φθάνω.
Πάτερ, ὡς λέγουν, ἐκ παντὸς ψυχομαχεῖ ἀδελφός μου,

Ἂς δράμω, ἂς ἴδω τί λαλοῦν, καὶ τώρα γιά που φθάνω.
Πάτερ, διὰ δέκα στάμενα κρατοῦν με λοκοτύνι,
Ὑπάγω νὰ ζητήσω το, καὶ τώρα γιά που φθάνω.
Ταῦτα λαλοῦντες ἔχομεν μικρὰν παραμυθίαν,
Καὶ τῆς Μονῆς εὐγένομεν καὶ βλέπομεν τὸν κόσμον,
Καὶ παρηγόρημα μικρὸν εὑρίσκομεν δαμάκιν.
Τὰ δ' ἄλλα τὰ γινόμενα καὶ τὰς ὀνειδισίας,
Καὶ τὰς πολλὰς ἐπιϐουλὰς πῶς ὅλως ὑπομείνω;
Τὸ τίς εἶσε καὶ τί θέλεις, καὶ τί με συντυχένης;
Τὸ πῶς λαλεῖς, πῶς στέκεσαι, καὶ πῶς ἐμϐλεμματίζεις;
Οὐκ εἶσαι εὐγενικόπουλον, οὐδ' ἀπὸ τῶν ἐνδόξων,
Οὐδ' ἔφερες τὰ κτήματα εἰς τὴν μονὴν νὰ ῥίζῃς.
Καλογερίτζιν ταπεινὸν ὑπάρχεις ἐκ τὸ μήλιν,
Ψιριάρικον, κοντριάρικον, γυμνὸν, ἀπολεσμένον,
Γαδοῦριν παλαιόπληγον, ὀρνίθιν κορυντζάριν,
Καὶ ψυχικὸν ψωμίν τρωγεις, καὶ δίδουν σε καὶ ῥάσον.
Καὶ φρῦξαι, πίε τὸν πυρετὸν, καὶ ξάφες τὰς σαλίας,
Καὶ τὸ νὰ λέγῃς ἀναιδῶς καὶ μετὰ παῤῥησίας.
Ἐξάφες τὰ στιλϐώματα καὶ τὰς ἀδρολαλίας,
Πρὶν ἂν σε κοπανίσουσιν καὶ μάθουν σε τὸ σπάσμα,
Καὶ τῆς μονῆς ὁλόγυμνον ἐκϐάλουσί σε ἔξω.
Ὑπάγενε μὲ τὸ καλὸν καὶ μὲ τὸν λογισμόν σου.
Εἰδὲ καὶ θέλεις νά σε δῶ νὰ τρώγῃς τὸ ψωμίν μας,
Σφίξε σφικτὰ τὰ δόντιά σου, καὶ κράτει τὴν φωνήν σου,
Καὶ κάμυζε ταμμάτια σου, καὶ μὴ πολυπραγμόνει,
Καὶ ἂν σε δέρουσιν.... ταῦτα γενναίως φέρε.
Ἀλλ' ἴσως καὶ λυπούμενος πολλάκις ἂν λαλήσῃς,
Καὶ τάχα τραχυτέροις τις ἂν χρήσεται τοῖς λόγοις,
Καὶ ἂν ἔνε κἂν εἷς δόκιμος, καί χει ψυχὴν θρασεῖαν,
Καὶ θέσει τὰ τοῦ πλάσματος, καὶ ἀποδειλιάσει ὀλίγον,

Καὶ σφίζει τὰ μερία του, πονέσει τὴν ψυχήν του,
Καὶ ἀποκοτίσει ὡς ἄγουρος καὶ πιλαλήσει εἰς μέσην,
Καὶ σείσει τὸ κοντάριν του καὶ πεῖ τὸ Ἀλέτζη, ἀλέτζη,
Καὶ καταβῇ, τὸ λέγουσιν τινὲς, τὸ κότου βόλον,
Καὶ εἴπῃ, « Πράγματα κακὰ γίνονται, Πάτερ ὧδε·
» Καὶ ποίησον διόρθωσιν. Οὐκ εἶνε γονικά σου,
» Οὐδὲ διεσὲν τὸ ἔκτισαν τοῦτο τὸ μοναστήριν,
» Τὸ νὰ τὸ τρώγῃς μοναχὸς καὶ μὲ τοὺς συγγενεῖς σου,
» Καὶ τοὺς πτωχοὺς τοὺς Μοναχοὺς νὰ διόχνῃς, ὥσπερ ξένους.
» Ἡμεῖς νὰ σέγκαλέσωμεν στὸν ἅγιον Βασιλέαν,
» Καὶ πάντες νὰναδράμωμεν εἰς τὸ πατριαρχεῖον. »
Ἂς πῶ τότε καὶ τί νὰ ζῇ, καὶ φαίνεται στὸν κόσμον.
Κάλλιόν του νἀπέθανεν ὁ Μοναχὸς ἐκεῖνος,
Ἢ πάλιν, τὸ λεγόμενον, ποσῶς νὰ μὴ ἐγεννήθην.
Ἔκτοτε βλέπε μηχανὰς καὶ δόλους ποῦ συῤῥάπτουν.
Τὸν οἰνοχόον πρότερον συντόμως παραγγέλλει·
Ὄξυνον δίδε ἀπὸ τοῦ νῦν κράσιν τὸν Μητροφάνην,
Ἂς ἔνε καὶ ὀλιγούτζικον, νὰ μὴν ἀναισχυντίζῃ.
Καὶ ἂν λαλήσῃ τίποτε καὶ θέλῃ νὰ τὸ στρέψῃ,
Τότε θέλω νὰ σὲ ἰδῶ τὸ πῶς τὸν θέλεις σύρειν.
Καὶ σπρόσεις καὶ λακτίσης τον ἔξωθεν τοῦ πυλῶνος.
Καὶ τὸν Κελλάρην ὅμοια τῷ πρώτῳ κατηχίζει,
Πάντα τὸν δεῖναν μερτικὸν μικρότερον τὸν δίδε.
Ἂς ἔνε σύστεον σύνομον, ἂς ἔχει κ' αἱματίτζιν,
Καὶ ἂν οὐ τὸ πάρῃ, ἐξάφες τον, καὶ διάβα ἐπὶ τοὺς ἄλλους·
Καὶ κεῖνος ἂς καθέζεται, καὶ ἂς γεύεται τὸν ψόφον.
Κρεῖττον δὲ νῦν τὸν θυρωρὸν ὁ γέρων κατηχίζει·
Ἂν ἔλθῃ ὁ δεῖνα πώποτε νὰ κάτζῃ στὸν πυλῶνα,
Ῥαβδέας καλὰς, ἂν μὲ ἀγαπᾷς, καὶ δίωξέ τον ἀπέκει.
Εἰ δὲ πολλάκις ἂν ευγῇ ἔξω μικρὸν νὰ ἴδῃ,

Τὴν πόρταν σου ῥωμάνιζε, καὶ ἃς κεῖται στὸν πυλῶνα.
Τὸν δέ γε Δοχιάριον ἡσύχως παραγγέλλει,
Λέγει, ὅτι « Τὸν καλόγερον τὸν δεῖνα μὴν τὸν δώσῃς
» Ἀπ' ὅλα τὰ διδόμενα συνήθως εἰς τὴν μέσην·
» Ἀλλ' εἴπερ καὶ προτάξει σοι πολλάκις νὰ τὸν δώσῃς,
» Ὡς νουνεχὴς καὶ φρόνιμος σὺ παραβίβαζέ τον,
» Καὶ λέγε τον, Οὐ δὲν ἔχω, καρτέρησον ὀλίγον·
» Καὶ μὴ νὰ πλήξῃ νὰ σφαγῇ, μὴ νὰ τὸν πιάσῃ ὁ ςρόφος,
» Καὶ λυτρωθοῦμέν τον γοργὸν, διὰ νὰ μὴ παραψάλλῃ. »
Καὶ καθεξῆς τοὺς ἅπαντας ὁμοίως παραγγέλλει
Τοῦ πράττειν πάντα, Δέσποτα, τὰ τῆς οἰκείας γνώμης.
Εἰ δὲ πολλάκις στερεὸς ὁ Μοναχὸς τυγχάνει,
Καὶ φέρει ταῦτα νουνεχῶς καὶ μετ' εὐχαριςίας,
Πρόσχες ποιμένος, Δέσποτα, δευτέραν πανουργίαν.
Ὃ κέκτηται προάςειον μικρότερον τῶν ἄλλων,
Πρὸς ὀλιγούτζικον καιρὸν ἐκεῖ τὸν ἀποςέλλει·
Καὶ τοῦτο δὲ μηχανικὸν, ἵνα τὸν παρεκβάλῃ·
Καὶ ἀπέκει τὰ τὸν πολεμεῖ, καὶ ἀπέκει τὰ τὸν κάμνει,
Μόνος Θεὸς ἐπίςαται καὶ ὁ Μοναχὸς ἐκεῖνος.
Εἰ δὲ πολλάκις συμβουλὴν τῶν Μοναχῶν οἱ πλείους
Ποιήσωσι, καὶ δράμωσι πρὸς σὲ τὸν Βασιλέα,
Τὸν Μανουὴλ τὸν Κομνηνὸν, τὸν τῆς πορφύρας γόνον,
Τὸν πύργον τῆς Ἀνατολῆς, τῆς Δύσεως τὸ δόρυ,
Τῶν ὀρφανῶν καὶ τῶν χηρῶν πατέρα καὶ προςάτην,
Καὶ κλῆσιν νῦν βασιλικὴν καλῶς ὀχυρωθῶσιν,
Πόσα λοιπὸν σημειώματα καὶ λύσεις τοῦ σοῦ κράτους,
Τὸ τυπικὸν τοῦ κτήτορος ἰσχύσουσιν ἀνῦσαι;
Ὥσπερ αὐτὸς ὁ λογαρὰς ἀτζαλοπεριπάτης,
Ὁ πουλιτζίζης, ὁ πτωχὸς, ὁ λερομενοςόλης.
Ποῦ με φελοῦν ὅτι ἔμαθα καμπόσα γραμματίτζια,

Καὶ περπατῶ καὶ προσαιτῶ, καὶ φόλην οὐ λαμβάνω,
Καὶ φαίνονται καὶ οἱ σάρκες μου, καὶ ὁμοιάζω νυκτοκλέπτης,
Ξυραφιςὴς κακότυχος, ἀπορουχοσυνάχτης,
Καὶ τζαντζαλιαρουτζούριχος ἀπὸ τὸ δημοκ...
Καὶ πάντοτε κλονίζομαι καὶ θλίβομαι καὶ κλαίω,
Γυμνοποδῶν, ῥακενδυτῶν, πεζοπορῶν, δουλεύων,
Καὶ φέρων ἅπερ εἴρηκα τῷ Κράτει σου πολλάκις;
Ἀλλ' ὦ μικρὸν, Θεός-επτε, τὰς ἀκοάς σου πρόσχες,
Ὅπως νὰ μάθῃς ἀκριβῶς καὶ περὶ τῶν νοσούντων.
Ἂν ἀῤῥωςήσῃ Ἡγούμενος, ἢ πόνος τὸν κρατήσῃ,
Κράζει γοργὸν τοὺς ἰατροὺς, τὸν δεῖνα καὶ τὸν δεῖνα.
Ἔρχονται βλέπουσιν εὐθὺς, κρατοῦσι τὸν σφυγμόν του,
Θωροῦσι καὶ τὰ σκύβαλα μετὰ τοῦ ὑελίου·
Λέγουσιν, Ποῖσε τὰ καὶ τὰ, καὶ ἂς γένη τόδε τόδε,
Καὶ ἂς φέρουσι συλίγουρδον, καὶ ἂς βάλουσιν ἀπέσω,
Καὶ σύντομον ἂς γένεται τοιαύτη ἰατρεία.
Ὁ μὲν ὑπάγει σαγορὰν ἰατρικῶν σπερμάτων,
Ἄλλος ὁρᾶται εἰς πέραμαν, ἄλλος εἰς τὰνγενίου.
Σπουδάζουσι νὰ εὕρωσι βατόπουλα, ψησία,
Φιλομηλίτζας τρυφερὰς, κωβίδια, γαλέας.
Γοργὸν τὰ μαγειρεύουσιν σὺν πάσαις ἀρτυσίαις,
Ὁ μὲν τὸ σαχαρόθερμον, ἄλλος δὲ τὸ δροσάτον,
Ἄλλος φροντίζει τὸ χυλὸν, διὰ τὴν ἀθρεψίαν,
Καὶ πάλιν ἄλλος ἕτοιμος κνήθει τὴν κεφαλήν του,
Ἕτεροι δὲ τοὺς πόδας του μεθ' ἡσυχίας τρίβουν.
Προςάσσει δὲ καὶ δίδουσιν τοὺς ἰατροὺς πλουσίως,
Διὰ νὰ τοὺς ἔχῃ πάντοτε ἀόκνως, ἂν νοσήσῃ.
Δότε τὸν ἰατρὸν κρασίν κἂν δεκαπέντε ἀγγεῖα,
Τὸν δ' ἄλλον δὸς νομίσματα κἂν δέκα μανολάτα.
Καὶ καθεξῆς τοὺς ἅπαντας μετ' ἐξουσίας δίδει.

Εἰ δ' ἀῤῥωςήσει Μοναχὸς, ἢ πόνος τὸν κρατήσει,
Ἀτός του γίνεται ἰατρὸς, καὶ τάδε παραγγέλλει·
» Ἡμέρας τρεῖς ἀφῆτέ τον, καὶ νηςικὸς ἂς κεῖται·
» Μετὰ δὲ τὴν συμπλήρωσιν τῶν ἡμερῶν, ὧν εἶπον,
» Ψυχίτζας ζεματίσετε μικρὰς εἰς τὸ πινάκιν,
» Καὶ ψήσετε μικρούτζικον κεφάλιν κρομυδίτζιν,
» Καὶ βάλετε λιγούτζικον ἐλάδιον νὰ μυρίσῃ,
» Καὶ φλισκουνίτζιν ὀλιγὸν διὰ τὴν εὐωδίαν.
» Εἰ δὲ διψήσει, δότε τον νερούτζικον ὀλίγον,
» Καὶ πάλιν ἐξαφῆτε τον ἄλλας καὶ τρεῖς ἡμέρας. »
Σὰν νάμαθεν ἐξάπαντος ἀπὸ τοῦ Ἱπποκράτους.
Ἴδες πανάριςον ἰατρὸν, ἴδες λαμπρὸν τεχνίτην;
Διέβη τὸν Νεκτάριον, διέβη τὸν Κανίκλην,
Διέβη τὸν Ἀέτιον, αὐτὸν τὸν Ἱπποκράτην.
Νὰ σὲ ἰατρεύσῃ, Δέσποτα, νὰ σὲ τὸν προξενήσω·
Νὰ μὴν φοβᾶσ' εἰς ποταμὸν ξερὸν νὰ κινδυνεύσῃς,
Σκῦλον ποτὲ ψοφιάρικον νὰ γέρθῃ νὰ σὲ δάκῃ.
Εἰ δὲ καὶ γράφω περισσὰ, καὶ τοὺς λόγους μηκύνω·
Καὶ δῆλα πάντα καθιςῶ τῷ Κράτει σου τῷ μέγα,
Καὶ ἡ κοιλία μου ἐζάρωσεν ἀπὸ τῆς ἀφαγίας,
Ἀπὸ τὸ κυμινόθερμον ὅλως ὑδροπικιᾶσα,
Ἐκ τὰς πολλὰς ἐβλάβησαν δουλείας τὰ νεφρά μου.
Κρυρτέσης δ' αὖθις ὑπ' αὐτῶν καλούμενος πολλάκις,
Ὀλόγυμνος ἀπέμεινα διὰ τὴν ὀνειδισίαν,
Ἀφῆκα καὶ τὰ μαλακὰ στρώματα νὰ κοιμοῦμαι,
Τὰ ὀςέα μου συνετρίβησαν ἀπὸ ξηροκοιτίας.
Εἰς τὸν χορὸν ποῦ ψάλλομεν φοβούμενος πολλάκις,
Ἐπόνεσα τὸν γούργουρον ἐκ τῆς πολυφωνίας,
Τὰ γόνατά μου σθένησαν ἀπὸ τὰς μετανοίας,
Ταμμάτιά μου ἐξηράνθησαν ἀπὸ τῆς ἀγρυπνίας,

Τὰ δόντιά μου ἐσπαράχθησαν ἀπὸ ξηροφαγίας,
Καὶ τὰ μαλίτζιά μου ἔπεσαν ἀπὸ τὴν ἀλουτζίαν.
Ἔδε καρβούνια, Δέσποτα, καὶ θλίψεις τὰς βαςάζω.
Καὶ τίς οὐκ οἰκτειρήσει με τὸν κακοδικημένον;
Οὐδ' ἅπερ εἶπον χαλεπὰ ἐλευθερίαν δίδουν.
Ἀλλ' ὢ πορφύρας βλάςημα, Παντάναξ τροπαιοῦχε,
Καὶ τεῖχος ἀπροσμάχητον τῆςδε τῆς Βυζαντίδος·
Αὐτὰ λοιπὸν, ὡς εἴρηκα τῷ Κράτει σου, μὴ φέρων,
Ἑκὼν ἐξέρχομαι Μονῆς ἐκ τῆς τοῦ Φιλοθέου,
Δι' ἃς ἐξεῖπον ἄνωθεν πανπλείςους τὰς αἰτίας,
Καὶ πρὸς τὴν σὴν κατέφυγα μεγάλην βασιλείαν.
Ἀφ' ὅτου γὰρ ἐκέρδησας ταύτην θεοῦ βουλήσει,
Οὐκ ἔςησας τὰς χεῖράς σου ποσῶς εἰς τὸ διδόναι
Καὶ Μοναχοὺς καὶ κοσμικοὺς, καὶ γέροντας καὶ νέους.
Καὶ πάντες ἐπαγγέλλονται σκιρτῶντες, εὐφημοῦντες,
Τῶν σῶν ἐπαπολαύοντες μεγάλων δωρημάτων.
Ἄρτι δὲ πρόσχες καὶ εἰς ἐμὲν ςενούμενον, πινόντα,
Τὸν Ἱλαρίωνα τὸν σὸν δοῦλον οἰκτρὸν καὶ πένην·
Οὐ γὰρ ὑπέρογκα ζητῶ, Δέσποτα ςεφηφόρε,
Νὰ λάβω σὺν τὴν ζήτησιν εὐθὺς καὶ ἀτιμίαν.
Ψωμὶν ζητῶ τῷ Κράτει σου καλὸν κοματοποῦλιν,
Εἰς ἣν ἡ Βασιλεία σου Μονὴν μὲ παραπέμψῃς.
Ἐπειδὴ καὶ προβάλλομαι μεσίτην τε καὶ πρέσβυν,
Ὡς πρὸς τὴν Βασιλείαν σου, Γεώργιον τὸν μέγαν,
Τὸν ἐν πολέμοις ὄντα σοι καλὸν συνοδοιπόρον,
Εἰς τούτου τὴν Μονὴν ζητῶ ἐκεῖ κατατεθεῖναι.
Ὡς γὰρ Χριςὸς ἐρύσατο Πέτρον ἀπὸ θαλάσσης,
Καὶ Ἰωνᾶν διέσωσε τοῦ ἀβυσσίου κήτους,
Καὶ τρεῖς παῖδας διέσωσε πυρὸς ἑπταπλασίου,
Οὕτω καὶ σύ με, Δέσποτα, τὸν ἄθλιον καὶ πένην

Τῶν δυσχερῶν ἀπάλλαξον δεινῶν μηχανημάτων,
Ὧνπερ κατεῖπον ἄνωθεν λεπτομερῶς ὁ τάλας,
Καὶ δίδου μοι τὴν ἅπασαν αὐτῶν ἐλευθερίαν·
Ποθῶ καὶ γὰρ, ὦ Δέσποτα, τῷ Κράτει σου προθύμως,
Ὡς δοῦλός σου ἀνάξιος τολμήσας ἐδεήθην·
Μὴ ἀποτύχω, Δέσποτα, τῆς ἱκεσίας ὅλως,
Ὡς ἂν καὶ ἐκτενέστερον ἐκ καρδίας ἐκπέμπων
Ὑπὲρ τοῦ κράτους σου εὐχὴν πρὸς τὸν ἄνακτα κτίστην,
Ἵνα σοι καὶ ἀείζωον παρέξῃ βασιλείαν,
Τὴν ἄληκτον, τὴν μένουσαν, τὴν μετὰ τῶν ἡδίστων.
Πατρὶ, υἱῷ, καὶ πνεύματι δόξα, καὶ πάλιν δόξα.

ΣΗΜΕΙΩΣΕΙΣ

ΕΙΣ ΤΟΥ ΠΤΩΧΟΠΡΟΔΡΟΜΟΥ ΤΑ ΠΟΙΗΜΑΤΑ.

ΒΙΒΛΙΟΝ Α΄.

ΣΤΙΧΟΙ Θεοδώρου τοῦ Πτωχοπροδρόμου, πρὸς τὸν βασιλέα, κύριον Μανουὴλ τὸν Κομνηνόν.] Ἐκ ΔΓ, τοῦ ἀντιγράφου σημειωμένου μὲ τὸν ἀριθμὸν 382, ἀντὶ τοῦ, ΠΤΩΧΟΠΡΟΔΡΟΜΟΣ, τὸ ὁποῖον μόνον εὑρίσκεται εἰς τὸ ἄλλο ἀντίγραφον, σημειωμένον 1310.

ΣΤΙΧ. 3, ΥΠΟ ΤΗΝ ΣΚΕΠΗΝ κ. τ. λ.] Τὸ ἄλλο ἀντίγραφον φέρει τὸν ςίχον οὕτως·

Τῇ σκέπῃ τῶν χρυσέων σου προσέρχομαι πτερύγων.

ΣΤΙΧ. 5, ΣΗΣ ΑΝΑΚΡΑΤΟΡΙΑΣ.] ΔΓ, Τῆς σῆς Ἀνακτορίας. Πιθανώτερον ὅμως ἔκρινα τὸ βαρβαροσύνθετον, Ἀνακρατορίας, ἀπὸ τὸ, Ἄναξ, καὶ τὸ, Κράτος·

ΣΤΙΧ. 6—55, Τοὺς πεντήκοντα τούτους ςίχους ἐπῆρα ἀπὸ τὸ 382 ἀντίγραφον, ἀντὶ τῶν ὁποίων τὸ 1310 ἀντίγραφον ἔχει τρεῖς μόνους τοὺς ἑξῆς·

Ὅρμος σὺ γὰρ ὁ γαληνὸς πάντων τῶν ἐν ἀνάγκαις.
Καὶ μὴ μὲ κλείσῃς ἀκοὰς τὰς βασιλικωτάτας,
Μηδὲ σὸν ἀποστρέψῃς με δοῦλον κατησχυμένον.

ΣΤΙΧ. 12, ΤΩΝ ΑΛΜΥΡΩΝ ΦΡΟΝΤΙΔΩΝ.] Ποιητικὴ, ἀςεία, καὶ σοφωτέρου αἰῶνος ἀξία μεταφορά. Οὕτως ὠνόμασεν ὁ Πλάτων (Νομ. Δ, σελ. 705) τὴν θάλασσαν, Ἁλμυρὸν καὶ πικρὸν γειτόνημα, ὄχι διὰ τὴν φυσικὴν αὐτῆς ἁλμυρίαν, ἀλλὰ διὰ τὰ ἐξ αὐτῆς γεννώμενα κακὰ εἰς τοὺς πλησίον της κατοικοῦντας.

ΣΤΙΧ. 16, ΡΗΓΗΝΑΡΧΩΝ.] Βαρβαροσύνθετος λέξις ἀπὸ τὸ Ἄρχων, καὶ τὸ Λατινικὸν Ῥὴξ (Rex), σημαῖνον κυβερνήτην, ἄρχοντα, βασιλέα. Ἀπὸ τὴν Αἰτιατικὴν (Regem) ἐμόρφωσεν ἡ χυδαία συνήθεια τὴν ὀνομαςικὴν, ὁ Ῥῆγας.

ΣΤΙΧ. 19, ΤΩ ΓΕΝΕΙ ΤΩ ΤΟΥ ΚΡΑΤΟΥΣ ΣΟΥ.] Ἦτο γραμμένον χωρὶς νόημα, Τῷ γόνῃ τὸ τοῦ κράτους σου (πλὴν ἂν ἦτο σφάλμα ἀντιγραφέως, ἀντὶ τοῦ Τῷ γόνῳ ΤΩ κ. τ. λ.). Ἀπὸ τὸ Γένος καὶ τὴν Πορφύραν ἦτο σύνθετον, τὸ Πορφυρογέννητος, ἐπίκλησις τῶν Γραικορωμαίων Αὐτοκρατόρων, ἐκείνων ἐξαιρέτως, ὅσοι ἐγεννῶντο ἀφοῦ ἐλάμβανεν ὁ πατὴρ τὴν βασιλείαν (Ἴδ. Δουκαγγ. σελ. 1207)· διότι τότε ἐγεννῶντο ὄχι μόνον ἀπὸ πατέρα ἐνδυμένον πορφύραν, ἀλλὰ καὶ εἰς οἴκημα τοῦ Παλατίου, τὸ ἰδίως ὀνομαζόμενον Πορφύραν, διωρισμένον ὡς λέγει Ἄννα ἡ Κομνηνὴ (Βιβλ. ς', σελ. 166), θεία τοῦ Μανουὴλ τούτου, εἰς τοὺς τόκους τῶν βασιλισσῶν· « Τὴν » βασιλίδα κατὰ τὸ ἀφωρισμένον πάλαι ταῖς τικτούσαις τῶν βασι- » λίδων οἴκημα ἐπὶ ταῖς ὠδῖσιν εὑρηκώς· Πορφύραν δὲ τοῦτο οἱ » ἀνέκαθεν ὀνομάζουσιν, ἐξ οὗ καὶ τὸ τῶν Πορφυρογεννήτων ὄνομα, » εἰς τὴν οἰκουμένην διέδραμεν. » Ἀλλοῦ πάλιν ἡ αὐτὴ Ἄννα (Βιβλ. ζ', σελ. 190) λέγει, ὅτι οὕτως ὠνομάσθη τὸ οἴκημα, διότι καὶ τὸ ἔδαφος καὶ οἱ τοῖχοί του ἦσαν ἀπὸ μάρμαρα πορφυρᾶ. Ἄλλοι δὲ ἄλλως ἐξηγοῦσι τῶν Πορφυρογεννήτων τὴν ὀνομασίαν. Ὅπως ἂν ἦναι, τὸ νόημα τοῦ Πτωχοπροδρόμου, φαίνεται τοῦτο· Διὰ τὸ πορφυρογέννητον τῶν Κομνηνῶν γένος, τὸ ὁποῖον ἔδωκεν εἰς τὴν νέαν καὶ χρυσῆν τοῦ Κωνςαντίνου Ῥώμην τέσσαρας ἄνακτας καὶ Αὐγούςους, θέλεις κηρυχθῆν καὶ κράτος τῶν τεσσάρων μερῶν τῆς γῆς. Οἱ τέσσαρες οὗτοι ἄνακτες, ἀδιακόπως εἰς μετὰ τὸν ἄλλον βασιλεύσαντες, ἦσαν, πρῶτος, ὁ πρῶτος Ἀλέξιος ὁ Κομνηνὸς, ὅςις συνεργοῦντος καὶ τοῦ ἀδελφοῦ του Ἰσαακίου ἐςέρησεν ἀδίκως τῆς βασιλείας τὸν εὐεργέτην καὶ φίλον αὐτῶν, Νικηφόρον τὸν Βοτανειάτην· δεύτερος, Ἰωάννης ὁ Κομνηνὸς, υἱὸς τοῦ Ἀλεξίου· τρίτος, ὁ Μανουὴλ οὗτος, υἱὸς τοῦ Ἰωάν-

νου· τέταρτον καταριθμεῖ ὁ ποιητὴς, ἂν καὶ ὄχι ἀκόμη βασιλεύσαντα, τὸν υἱὸν τοῦ Μανουὴλ, τὸν δεύτερον Ἀλέξιον τὸν Κομνηνόν.

ΣΤΙΧ. 21, ΑΥΤΌ.] Ἐγράφετο κακῶς, Αὐτός.

ΣΤΙΧ. 22, ΠΑΝΤΩΣ.] Ἐγράφετο κακῶς, Πάντας. Τὸ δὲ νόημα, Αὐτὸ τὸ τετραύγουστον, ἢ τετραυγουστόμορφον, ἤγουν ὁ πάππος, ὁ πατήρ σου, σὺ, βασιλεύσαντες εἷς μετὰ τὸν ἄλλον συνεχῶς, καὶ τέταρτος ὁ μέλλων νὰ βασιλεύσῃ υἱός σου, παραστένουν τὴν τετραμερίαν, τουτέστι τὰ τέσσαρα κέρατα τοῦ Σταυροῦ. Παραβολὴ βάρβαρος, γελοιώδης, οὐδὲ πολλὰ χριστιανική.

ΣΤΙΧ. 24, ΚΑΤΑΚΡΑΤΗΣΑΣ.] Σφάλμα γραφικὸν, ἀντὶ τοῦ, Κατεκράτησας, ἢ ἴσως τοῦ, Κατακρατήσεις. Ἐὰν τοῦτο, τὸ νόημα ἦναι, Τὸ γένος τῶν Κομνηνῶν τότε θέλει ὑποτάξειν τὰ τέσσαρα μέρη τοῦ κόσμου, ὅταν ὁ τέταρτος Αὔγουστος ὁ Πορφυρογέννητος, Ἀλέξιος ὁ υἱός σου σὲ διαδεχθῇ.

ΣΤΙΧ. 26, ΤΕΤΡΑΥΓΟΥΣΤΕ.] Ἴσως ἦτο Τριαύγουστε. Τοὐλάχιστον τὸ νόημα εἶναι, Ὅμως δὲ σὺ ὁ τρίτος Αὔγουστος καὶ Πορφυρογέννητος ἐκ τῶν Κομνηνῶν, συνεργὸν ἔχων τὴν ἁγίαν Τριάδα, διοικεῖς κραταιῶς τὰ σκῆπτρα τῆς μοναρχίας, καὶ πρὶν βασιλεύσῃ ὁ υἱός σου Ἀλέξιος ὁ τετραύγουστος, ἤγουν ὁ μέλλων νὰ ὀνομασθῇ τέταρτος Κομνηνὸς Πορφυρογέννητος. Ὁ ποιητής μας εἶχε χρείαν τοῦ Σταυροῦ, διὰ τοὺς τέσσαρας Κομνηνοὺς Πορφυρογεννήτους· ἀλλ' ἀπ' αὐτοὺς ὁ τέταρτος, δὲν ἦτον ἀκόμη βασιλεύς. Ὅθεν, θέλων ἐξαιρέτως νὰ ἐγκωμιάσῃ τὸν βασιλεύοντα Μανουὴλ, ἐπενόησεν ἄλλο παράδειγμα, τῆς Τριάδος, τὴν ὁποίαν παρίστανεν ὁ Μανουὴλ μὲ τοὺς ἀποθανόντας δύο, Ἀλέξιον τὸν πάππον, καὶ Ἰωάννην τὸν πατέρα του. Πόσον ἁρμόδια καὶ σοφὰ εἶναι τοιαῦτα παραδείγματα, δὲν εἶναι χρεία νὰ τὸ δείξω.

ΣΤΙΧ. 30, ΤΟ ΚΑΘ' ΗΜΑΣ.] Ἤγουν εἰς τοὺς χρόνους μας. Ἴσως ἦτο γραμμένον, Τὶ καθ' ὑμῶν, ἤγουν καθ' ὑμῶν τῶν Κομνηνῶν.

ΠΕΡΙΘΡΑΥΘΗΝΩΣΙ.] Γραφικὸν ἁμάρτημα· ἴσως ἦτο Περιθρασυνθῶσι. Δὲν εἶν' ἄτυχος λέξις τὸ Περιθρασύνομαι.

ΣΤΙΧ. 31, ΝΕΥΣΗΣ.] Ἦτο κακὰ γραμμένον, Νεύσας.

ΣΤΙΧ. 33, ΠΤΟΟΥΜΕΝΟΙ.] Ἐγράφετο σφαλμένα, Πτοούμενος.

ΣΥΓΚΡΙΣΙΝ. Ἴσως ἦτο ΣΥΓΚΡΟΥΣΙΝ, ἢ μᾶλλον ΣΥΓΚΑΥΣΙΝ, μεταφορικῶς, ὡς φαίνεται καὶ ἀπὸ τὸ ἑξῆς Κατακαῶσι.

ΣΤΙΧ. 36, ΔΑΝΤΟΝΙΣ.] Δὲν ἐδυνήθην ἀκόμη νὰ μάθω, τίς ἦτον οὗτος ὁ Δαντόνις.

ΜΕΛΙΑΣ. Κατὰ τὸν Κίνναμον (Ἱςορ. Βιβλ. ς', 11, καὶ 12), ὁ Μελίας ἦτον Ἀρμένιος τὸ γένος· διεδέχθη τὸν ἀδελφόν του Τερόζην εἰς τὴν ἡγεμονίαν τῆς Κιλικίας.

ΣΤΙΧ. 37, ΝΟΥΡΑΔΙΝΟΣ.] Οὗτος, κατὰ τὸν αὐτὸν Κίνναμον, ἦτο Σατράπης τῆς Βεῤῥοίας. Καὶ αὐτὸς, καὶ ὁ Μελίας ἐκίνησαν πόλεμον κατὰ τοῦ Μανουήλ.

ΣΤΙΧ. 38, ΝΕΕΜΑΝ.] Ὁ Νεεμὰν ἦτον Ἡγεμὼν Δαλματίας Σκλαβοῦνος, τὸν ὁποῖον οἱ Δαλμᾶται ὠνόμασαν Νεμαγνὰμ (Nemagnam)· Ἐξεςράτευσε κατ' αὐτοῦ ὁ Μανουὴλ κατὰ τὸ 1167 ἔτος. Ἀκούσας μόνον τὴν ἐκςρατείαν ὁ Νεεμὰν ἐφοβήθη, καὶ ἐλθὼν εἰς τὸ Βυζάντιον ἐζήτησε κ' ἔλαβε συγχώρησιν ἀπὸ τὸν βασιλέα (ἴδ. Du Cange, Histor. Byzant. Famil. Byzantinæ, p. 285).

ΣΤΙΧ. 41, ΤΩΝ ΚΑΤΑΠΟΝΤΙΖΟΝΤΩΝ, κ. τ. λ.] Σημείωσε τὸν σολοικισμὸν, Καταποντιζόντων φροντίδων. Κατωτέρω (ςίχ. 347) εὑρίσκομεν ὁμοίως, Λέγων, ἀντὶ τοῦ Λέγουσα.

ΣΤΙΧ. 42, ΣΥΝΤΟΜΩΣ.] Ποιητὴς καλήτερος τοῦ Πτωχοπροδρόμου ἤθελεν εἰπεῖν Συντόνως.

ΣΤΙΧ. 47, ΗΡΧΟΜΗΝ.] Οὕτως ἔγραψα ἀντὶ τοῦ Ἠρχόμην, κινηθεὶς ἀπὸ πολλὰ ἄλλα παραδείγματα τοῦ ποιητοῦ μας, ὅςις μετατοπίζει τοὺς τόνους διὰ τὸν ῥυθμὸν τοῦ ςίχου. Ὁμοίως μετ' ὀλίγον (ςίχ. 49) γράφει Προνοία καὶ ὄχι Πρόνοια.

ΣΤΙΧ. 56, ΑΠΟ ΜΙΚΡΟΘΕΝ.] ΔΓ, Ἀπὸ μικροῦ. Ἡ πρώτη ὅμως εἶναι ἡ γνησία· ὡς καὶ εἰς τὸ ἑξῆς (ςίχ. 380) θέλει εἰπεῖν Ἀπὸ παποτερόθεν. Μιμεῖται δηλαδὴ τὸ Ἐξ οὐρανόθεν τοῦ ἀμιμήτου Ποιητοῦ (Ἰλιάδ. Θ', 19).

ΣΤΙΧ. 57, ΦΕΛΕΣΗΣ.] Ἀντὶ τοῦ Ὠφελήσῃς. Εἰς τὴν κοινὴν γλῶσσαν λέγομεν Φελᾷ ἢ Δὲν φελᾷ, ἤγουν εἶναι ἢ δὲν εἶναι χρήσιμον, μὲ διπλοῦν νεωτερισμὸν, τὴν ἀφαίρεσιν δηλαδὴ τοῦ ἀρχικοῦ ςοιχείου, καὶ τὴν μετάθεσιν τοῦ ῥήματος ἀπὸ τῆς πρώτης εἰς τὴν δευτέραν τῶν περισπωμένων, ἥτις θεωρεῖται καὶ εἰς ἄλλα πολλὰ ῥήματα, οἷον Ἀκολουθᾷ, Ζητᾷ, Πολεμᾷ. Ἡ σημασία ὅμως εἶναι Ἑλληνική· παραδείγματος χάριν, τοῦ Ξενοφῶντος τὸ « Τί σοι ὄφελος ὧν » ἔμαθες » ὁ Πτωχοπρόδρομος, εἰς τὴν πτωχήν του γλῶσσαν καὶ ποίησιν, ἤθελε τὸ μεταγλωττίσειν, Τί σε φελοῦν ὅσα μαθες· καὶ τὰς

φράσεις, Οὐδὲν ὄφελος τούτου, ἢ Ἀνωφελές ἐςι τοῦτο, ἤθελε τὰς μεταποιήσειν εἰς τὸ, Δὲν φελᾷ τίποτε, ἤ, Εἶναι ἀνωφέλετον, ἢ ἀνωφέλευτον. Τὸ πρῶτον (φελᾷ) εἶναι, Ὠφελεῖ, τὸ δεύτερον, (Ἀνωφέλητον) ἀπὸ τὸ Ὠφελέω, καὶ τὸ τρίτον (Ἀνωφέλευτον) ἀπὸ τὸ Ὠφελεύω. Οὕτως ἔλεγαν καὶ οἱ παλαιοὶ, Τυραννέω καὶ Τυραννεύω, καὶ Νόσημα (ἀπὸ τὸ Νοσέω) καὶ Νόσευμα (ἀπὸ τὸ Νοσεύω).

ΣΤΙΧ. 59 καὶ 60, Καὶ τώρα (βλέπεις) γέγονεν χρυσοφτερνιστηράτος, ἀλογοτριπλοντέλινος καὶ παχυμουλαράτος.] Ἀντὶ τῶν δύο ςίχων τούτων, τὸ 382 ἀντίγραφον ἔχει μόνον ἕνα, τὸν ἑξῆς:

Καὶ τώρα ἔνι διπλοεντέληνος καὶ παχυμολαράτος.

ΧΡΥΣΟΦΤΕΡΝΙΣΤΗΡΑΤΟΣ λέγεται ὅςις ἔχει χρυσᾶ πτερνιςήρια, διὰ νὰ κεντᾷ τὸ ἄλογον. Πρῶτος βαρβαρισμὸς εἶναι ἡ τροπὴ τοῦ π εἰς τὸ φ, ὁ ὁποῖος συνειθίζεται καὶ εἰς τὸ Βαφτίζω, Φταίγω, Φτωχὸς, καὶ ἄλλα πάμπολλα. Δεύτερος ὁ σχηματισμὸς εἰς ατος, τὸν ὁποῖον ἐκερδήσαμεν ἀπὸ τὴν Λατινικὴν γλῶσσαν, μιγμένην μὲ τὴν Ἑλληνικὴν εἰς τὸν καιρὸν τῆς Γραικορωμαϊκῆς βασιλείας. Εἰς τὸ ἑξῆς θέλομεν εὑρεῖν εἰς τὸν ποιητήν μας, Ἀμυγδαλάτος, Δαμπροπουκαμισάτος, Μορφοπροσωπάτος, Μαυροτριχαράτος, Γεμάτος· περὶ τῶν ὁποίων ἴδε τὰ κατωτέρω (εἰς στίχ. 130) καὶ τὰ ἀλλοῦ (Πλουτάρχ. Μέρ. Β', σελ. 377) σημειωμένα.

ΑΛΟΓΟΤΡΙΠΛΟΝΤΕΛΗΝΟΣ. Ἡ σύνθεσις εἶναι ἀπὸ τὸ Ἄλογον, Τριπλοῦν, καὶ τὸ Ἀντελήνα (Antelena, παράγωγον τοῦ Antella ἢ Antela τοῦ παρακμάζοντος Λατινισμοῦ) τὴν ὀνομαζομένην καὶ Ἐμπροσθελήναν. Ἐσήμαινε τὸν περὶ τὸ ςῆθος τοῦ ἀλόγου περικείμενον λῶρον, διὰ νὰ κρατῇ τὴν σέλλαν, τὸν ὀνομαζόμενον ἀπὸ τοὺς παλαιοὺς Στηθιςῆρα (portail, Τουρκιςὶ, Σινεμπένδ). Ἐξεναντίας, ὁ ὄπισθεν τῆς σέλλας κατερχόμενος καὶ κρατῶν τὴν οὐρὰν λῶρος ἐλέγετο, Ὀπισθελίνα, ἀπὸ τὸ Ῥωμαϊκὸν Postilena, καὶ Ὀπισθία (χυδ. Πιστιὰ, croupière, Τουρκ. Κουσκοὺν). Σήμερον ὀνομάζεται Καπουλοδέτης (Δουκάγγ. σελ. 1048).

ΑΛΟΓΟΝ ὀνομάζομεν τὸν Ἵππον, κατὰ ἀντονομασίαν, διὰ τὴν ἐξοχὴν τοῦ ζώου, ἢ καὶ διὰ τὴν πλειοτέραν παρὰ πολλῶν ἄλλων ζώων χρῆσιν καὶ συνήθειαν, ὡς ὀνομάζομεν καὶ Πετεινὸν (coq) τὸν Ἀλέ-

κτορα, καὶ Ὄρνιθαν (poule) τὴν Ἀλεκτορίδα. Ἡ χρῆσις εἰς τοιαύτην σημασίαν εἶναι παλαιά· « Ἀπώλεσαν ... ΙΠΠΑΓΩΓΟΥΣ καὶ πλοῖα » ἕτερα, τριακόσια. Ἀπὸ δὲ Καμαρίνης ἕως Παχύνου τὰ σώματα » καὶ τὰ ἌΛΟΓΑ καὶ τὰ ναυάγια ἔκειντο. » (Διοδωρ. Σικελ. Ἐκλογ. Βιβλ. XXIII, σελ. 505). Τῆς δὲ ὄρνιθος ἡ χρῆσις εἶναι ἀρχαιοτέρα καὶ τοῦ Διοδώρου· ἐπειδὴ ὁ ποιητὴς Μένανδρος, ὡς μαρτυρεῖ ὁ Ἀθήναιος (Βιβλ. θ′, σελ. 373), ὠνόμασεν ὄρνιθας τὰς ὁποίας καὶ σήμερον ὀνομάζομεν οὕτως.

ΠΑΧΥΜΟΥΛΑΡΑΤΟΣ ἢ (ὡς τὸ ἄλλο ἀντίγραφον) ΠΑΧΥΜΟΛΑΡΑΤΟΣ. Φανερὸν ὅτι ἡ λέξις (μὲ τὸν αὐτὸν ἀνωτέρω σημειωθέντα βαρβαρισμὸν τοῦ $\overline{\alpha\tau o\varsigma}$) σημαίνει τὸν καθήμενον ἐπάνω εἰς παχὺ μουλάρειον.

ΜΟΥΛΑΡΙΟΝ. (Ἑλληνιςὶ, Ὀρεὺς ἢ Ἡμίονος). Λέξις βάρβαρος, ἀπὸ τῶν Λατίνων τὸ Mulus, τὸ ὁποῖον καὶ αὐτὸ, ἂν πιςεύσωμεν τὸν Οὐόσσιον, παράγεται ἀπὸ τὸ Μόλος (ὁ κόπος), διὰ τὸ φερέπονον καὶ πολύπονον τοῦ ζώου.

Ἀντὶ τῶν προγραμμένων δύο ςίχων (59 καὶ 60) τὸ ἄλλο ἀντίγραφον φέρει ἕνα μόνον (ὡς εἶπα) τὸν ἑξῆς,

Καὶ τώρα ἘΝΙ διπλοεντέλημνος καὶ παχυμολαράτος.

ΔΙΠΛΟΕΝΤΕΛΗΝΟΣ. Φανερὸν ὅτι σημαίνει τὸν ἔχοντα διπλῆν Ἀντελήναν· ἀλλὰ τὸ ἀξιώτερον σημειώσεως εἶναι τό:

ἘΝΙ. Ἀπὸ τοῦτο πρῶτον ἐγεννήθη τὸ Ἔνε, (εὑρισκόμενον καὶ εἰς τὸν Πτωχοπρόδρομον καὶ εἰς ἄλλους συγχρόνους αὐτοῦ συγγραφεῖς, καὶ συνειθιζόμενον ἀκόμη σήμερον εἰς πολλοὺς τῆς Ἑλλάδος τόπους), καὶ τελευταῖον τὸ Εἶναι. Ἴδε τὰς ἑξῆς σημειώσεις (ςίχ. 116).

ΣΤΙΧ. 61, ὌΝΤΑΝ.] Ἀντὶ τοῦ Ὅταν (τοῦ ἄλλου ἀντιγράφου) μὲ τὴν βάρβαρον προσθήκην τοῦ ν, περὶ τῆς ὁποίας ἴδε τὰ κατωτέρω (ςίχ. 127) σημειωμένα.

ἘΜΑΘΑΝΕΝ.] Ἀπὸ ἐνεςῶτα Μαθάνω, ἀντὶ τοῦ Μανθάνω, μὲ τὴν βάρβαρον ἀφαίρεσιν τοῦ αὐτοῦ ν, ἡ ὁποία καὶ εἰς πολλὰς ἄλλας λέξεις συνειθίζεται, οἷον Ἀθίζω, Ξαθὸς, ἀντὶ τοῦ Ἀνθίζω, Ξανθός. Σήμερον λέγομεν Μαθαίνω, καθὼς καὶ ἄλλα πολλὰ ῥήματα εἰς $\overline{\alpha\nu\omega}$ τῶν παλαιῶν, προφέρομεν διὰ τοῦ $\overline{\alpha\iota\nu\omega}$· οἷον Λαχαίνω, Λαβαίνω, Λαθαίνω, Τυχαίνω, Σταίνω, Αὐξαίνω, Παθαίνω, ἀντὶ τοῦ Λαγχάνω, Λαμβάνω, Λανθάνω, Τυγχάνω, Ἱστάνω, Αὐξάνω, Πανθάνω. Διότι καὶ τὸ τελευ-

ταῖον τοῦτο, Πανθάνω, ἢ ὡς κατωτέρω (ςίχ. 372) τὸ γράφει ὁ ποιητής μας, Παθάνω, ἂν καὶ φαίνεται βαρβαρισμὸς τῶν Γραικορωμαίων, καθὼς εἰς τούτους τοὺς ἀνεκδότους στίχους (Στεφάνου τοῦ Σαχλήκη):

Καὶ καθημέρα, Φρατζησκῆ, ἐσὺ θέλεις μανθάνειν
Τοὺς πειρασμοὺς καὶ τὰ κακὰ, τὰ ποῖα θέλεις πανθάνειν,

εὑρίσκεται ὅμως εἰς τὸν Ἐτυμολόγον (σελ. 566). Ὅτι δὲ καὶ ἡ κατάληξις αινω ἦτο πολαιὰ εἰς χρῆσιν, φαίνεται ἀπὸ τὸ Ὀλισθαίνω, Κερδαίνω, ἄλλα πολλά. Ἂν δὲν ἔλεγαν Μαθαίνω, εἶχαν ὅμως τὸ σύνθετον Ἀμαθαίνω.

ΣΤΊΧ. 62, ΜΑΚΡΗΜΊΤΗΚΑ.] ΔΓ, Μακρομήτικα· ὁ Δουκάγγιος, μὴ νοήσας τὸν ςίχον, τὸν ἔγραψεν οὕτως ἀθλίως εἰς τὸ Λεξικόν του (λέξ. Μίτη):

« Καὶ τόρα βλέπεις, φέρει τὰ μάκρη μίτη κάτου. »

Ὁ λόγος δὲν εἶναι περὶ τοῦ Μακρο, ἢ Μακρη· τοιαῦται ἀνωμαλίαι τῆς συνθέσεως τῶν ὀνομάτων εὑρίσκονται καὶ εἰς τοὺς παλαιοὺς, οἷον Βιβλιαγράφος καὶ Βιβλιογράφος, Πανταλέων καὶ Παντολέων, Κυνάμυια καὶ Κυνόμυια, Μυριαφόρος καὶ Μυριοφόρος. Τὸ σημειώσεως ἄξιον εἶναι ἡ Μύτις, ἡ κοινότερον Μύτη, τῆς ὁποίας ἡ πρώτη συλλαβὴ πρέπει νὰ γράφεται διὰ τοῦ υ. Μύτιν ἢ Μύτιδα ὠνόμαζαν οἱ παλαιοὶ ἐκεῖνο τὸ μέρος θαλασσίων τινῶν ζώων, τὸ ὁποῖον ἀναλογεῖ, ἢ ἐνόμισαν ὅτι ἀναλογεῖ μὲ τὴν ῥῖνα, ἢ τὸν μυκτῆρα τοῦ ἀνθρώπου, καθὼς τὸ ἐσημείωσεν ὁ σύγχρονος τοῦ Πτωχοπροδρόμου Εὐςάθιος (εἰς Ἰλιάδ. ν', σελ. 950). Οἱ νέοι Ἕλληνες ἐμεταχειρίσθησαν ἔπειτα τὴν λέξιν καὶ διὰ τὴν ἀνθρώπινον ῥῖνα· διὰ τοῦτο εὑρίσκομεν καὶ εἰς τὸν Ἡσύχιον, « Μυσιᾶν » (ἴσ. γρ. Μυτιᾶν), ἀναπνεῖν κ. τ. λ. » ἐπειδὴ ἀναπνέομεν διὰ τῆς μύτης. Τὴν ἔλεγαν ἀκόμη καὶ Μούτην, διὰ διφθόγγου (Δουκάγγ. σελ. 930)· ὅθεν παράγεται καὶ τὸ χυδαιότατον Μούτζουνον (museau), κατὰ τροπὴν τοῦ υ εἰς ου, καθὼς Οὖλη (lie), Φούσκα (vessie), ἀντὶ τοῦ Ὕλη, Φύσκη, καὶ τοῦ τ εἰς τὸ βάρβαρον τζ (καθὼς Τζιτζυρίζω καὶ Τζίντζικας, ἀντὶ τοῦ Τιτυρίζω καὶ Τέττιξ)·

καὶ αὐτὸ δὲ τῶν Γάλλων τὸ Museau (ζώων τινῶν τὸ προέχον τῆς κεφαλῆς μέρος) ἄλλην παραγωγὴν πιθανὸν ὅτι δὲν ἔχει, παρὰ τὴν ἀπὸ τῆς Μύτης, ἐπειδὴ αὕτη εἶναι τὸ ἐπιφανέςερον καὶ πλέον ἐξέχον μέρος τοῦ προσώπου.

ΜΑΚΡΟΜΥΤΙΚΑ. Ὑποδήματα μὲ μύτας μακρὰς (souliers pointus), τὰ ὁποῖα φαίνεται ὅτι ἦσαν τότε εἰς τὴν Κωνςαντινούπολιν ἀναμεταξὺ τῶν πλουσίων καὶ τρυφηλῶν καινοπρεπὴς ςολισμὸς, καθὼς ἦσαν εἰς τοὺς Παρισίους πρὸ ὀλίγων ἐτῶν, καὶ ἀρχαιότερα κατὰ τὴν δεκάτην τρίτην καὶ δεκάτην τετάρτην ἑκατονταετηρίδα, ὅτε τὰ ὠνόμαζαν souliers à poulaines, ἤγουν Ὑποδήματα Πολονικὰ (Ἴδε Bayle, Dictionnair. historiq. et critiq. tom. IX, pag. 233 τῆς νέας ἐκδ.).

ΣΤΙΧ. 63, Αὐτὸς μικρὸς οὐδὲν ἴδεν τοῦ λουτροῦ τὸ κατώφλιν.] ΔΓ,

Αὐτὸς μικρὸς οὐδὲν εἶδε τὸ τοῦ Λοετροῦ κατόφλιν.

Ἴσως ἦτο Μικρῶς, ἐπίῤῥημα, διὰ νὰ ἦναι τὸ νόημα, Οὐδὲ μικρὸν, Οὐδὲ ποσῶς. Τὸ Οὐδὲν ἴδεν, ἐγκλίθη βαρβάρως, διὰ τὸν ῥυθμὸν τοῦ ςίχου. Τοῦ Οὐδὲν, ἀντὶ τοῦ Οὐκ, εὑρίσκονται παραδείγματα καὶ εἰς τοὺς παλαιοὺς, ὡς εἶναι τὰ ἑξῆς·

Τὰ μὲν ἄλλα λέγεις οὐδὲν σκαιῶς.....

(Ἀριςοφαν. Ἐκκλησιαζ. 644) ἀντὶ τοῦ, Οὐ σκαιῶς·

Ὀρχούμενος τῆς νυκτὸς οὐδὲν παύεται,

(ὁ αὐτὸς Σφηξ. 1478) ἀντὶ τοῦ Οὐ παύεται·

« ..... ὅτ' οὐδὲν ἡ χάρις χάριν φέρει »

(Σοφοκλ. Οἰδ. Κολ. 779) ἀντὶ τοῦ Οὐ φέρει. « Οὐδὲν, ἀντὶ τοῦ Οὐ » λέγει ὁ Ἡσύχιος. Τὸν νομιζόμενον τοῦτον Ἀττικισμὸν ἐμεταχειρίσθησαν κατακόρως καὶ κακοζήλως οἱ μεταγενέςεροι, καὶ τέλος ὁ χυδαῖος λαὸς κολοβώσας τὴν κεφαλὴν τοῦ Οὐδὲν, μᾶς ἀφῆκε μόνον τὸ Δέν· περὶ τοῦ ὁποίου ἴδε κατωτέρω (εἰς τὸν ςίχ. 183) καὶ ἄλλην σημείωσιν.

ΚΑΤΩΦΛΙΝ. Κατὰ συγκοπὴν ἀντὶ τοῦ Κατώφλιον (ἴδε Ἡλιοδώρ. Β', σελ. 48). Ἀπὸ ταύτην τὴν βάρβαρον συγκοπὴν τῶν ὑποκοριςικῶν

ἐγεννήθη ἡ βαρβαροτέρα χρῆσις τῶν ἀπείρων ὀνομάτων τῆς κοινῆς γλώσσης εἰς ῑ, τὰ ὁποῖα μεταχειριζόμεθα ὄχι πλέον ὡς ὑποκοριστικὰ, ἀλλ' ὡς ἁπλᾶ πρωτότυπα. Ἴδε τὰ ἄλλου (Πρόδρ. Ἑλλην. Βιβλιοθ. σελ. 317) σημειωμένα· καὶ πρόσθες εἰς αὐτὰ τὴν μαρτυρίαν τοῦ Πολυδεύκους (σελ. 481) « Ὅταν δ' εἴπῃ Ἀριστοφάνης ἐν Αἰολοσίκωνι, Δυοῖν » λυχνιδίοιν, δηλονότι Λυχνίας εἴρηκεν, ἀλλ' οὐ Λύχνους μικρούς, κ. τ. λ. » Ὅτι δὲ ἀπὸ τὴν συγκοπὴν τοῦ ιον εἰς τὸ ιν ἔλαβαν ἀρχὴν τὰ τοιαῦτα, τὸ μαρτυροῦν αἱ γενικαὶ, τὰς ὁποίας ἀναγκαζόμενοι ἐπαναφέρομεν εἰς τὴν φυσικὴν αὐτῶν κλίσιν· οἷον τὸ Παιδὶν, τοῦ Παιδίου, τὸ Καλοκαίριν, τοῦ Καλοκαιρίου, κ. τ. λ. Εὑρίσκονται πολλάκις εἰς τοὺς βαρβάρους τούτους συγγραφεῖς καὶ διὰ τοῦ ην, καθὼς, παραδείγματος χάριν, τοῦ ἑξηκοστοῦ ἑβδόμου στίχου τὸ Καβάδιν ἔχει διάφορον γραφὴν, Καβάδην· ἀλλὰ τοῦτο ἐπροῆλθε ἀπὸ τὴν ὁμοιότητα τῆς προφορᾶς τοῦ η καὶ ι. Εἰς μόνα ὅμως τὰ οὐσιαστικὰ τῶν διὰ τοῦ ιον οὐδετέρων ἔλαβε χώραν ἡ βάρβαρος συγκοπὴ, ἀλλ' ὄχι καὶ εἰς τὰ ἐπίθετα· ἐπειδὴ ποτὲ δὲν λέγομεν Ἅγιν καὶ Ἄξιν, ἀντὶ τοῦ Ἅγιον καὶ Ἄξιον (παρεκτὸς τινῶν χυδαϊκῶν συνθέτων, Ἁγιγιώργις καὶ Ἁγιδημήτρις). Ἔχει δὲ χώραν εἰς ἀρσενικὰ ἐπίθετα, ἢ ὡς ἐπίθετα, καθὼς καὶ εἰς οὐσιαστικὰ, διὰ τοῦ ιος· οἷον ἀπὸ τοῦ Κύριος ὁ Κῦρις (ὅθεν ὁ Οἰκοκῦρις, ὁ Καραβοκῦρις) ἀπὸ τοῦ Γεώργιος ὁ Γιῶργις, ἀπὸ τοῦ Δημήτριος ὁ Δημῆτρις (ἴδ. Πρόδρ. Ἑλλ. Βιβλιοθήκ. σελ. 353).

Τὸ Αρετροῦ τοῦ δευτέρου ἀντιγράφου, ἀντὶ τοῦ Λουτροῦ, εἶναι Ὁμηρικόν· ἀπὸ πηγὴν μελίρρυτον δυστυχὲς νεροκουβάλημα!

ΣΤΙΧ. 64, ΛΟΥΤΡΙΚΙΖΕΤΑΙ. Σήμερον λέγομεν Λούεται (χυδ. Λούζεται). Τὸ Λουτρικίζεται εἶναι λέξις παράγωγος ἄλλης παραγώγου λέξεως, Λουτρικὸν, τὸ ὁποῖον εἰς ἡμᾶς σημαίνει τὸν μισθὸν τὸν διδόμενον ἀπὸ τὸν λουόμενον εἰς τὸν Λουτράριον, (τὸν Ἑλληνιστὶ Βαλανέα).

ΣΤΙΧ. 65, ΚΟΡΦΟΣ.] ΔΓ (ἑλληνικωτέρα) Κόλπος. Κόρφος λέγεται καὶ σήμερον, καθὼς καὶ ἄλλαι πολλαὶ λέξεις τῶν ὁποίων τὸ λ μετεβλήθη εἰς τὸ ρ (ὡς Ἀδερφὸς, Ἁρμυρὸν) καὶ τὸ π εἰς τὸ φ (ἴδ. ἀνωτέρ. σελ. 43).

ΒΟΥΡΒΟΥΡΙΖΕΝ. ΔΓ, Ἐβουρβούριζε. Τὸ ἀναύξητον, Βουρβούριζε, ἔγινε διὰ τὸ μέτρον. Γράφε διὰ τοῦ υ, Ἐβουρβούρυζε, διότι δὲν παράγεται ἀπὸ τὸ Βόρβορος, ἀλλ' εἶναι τὸ

Βορβορύζω (grouiller), παλαιὰ ὀνοματοποιημένη λέξις, σημαίνουσα τὸν ἦχον τῆς κοιλίας καὶ τῶν ἐντέρων. Ὁ τοιοῦτος ἦχος, λέγεται καὶ Βορβορυγμὸς, καὶ Κορκορυγμὸς, ἀδιαφόρως· ἴσως δὲ καὶ Μορμορυγμὸς, ὡς οἱ Ῥωμαῖοι, murmur ventris, ἀπὸ τὸ Ἑλληνικὸν Μορμύρω, τὸ σημαῖνον τὸν ἦχον τοῦ ῥέοντος ὕδατος, ὅθεν εἶναι τῆς κοινῆς ἡμῶν γλώσσης τὸ Μουρμουρύζω. Τῆς κοιλίας ὁ ἦχος σήμερον λέγεται Γουργουρυσμὸς ἢ Γουργούρυσμα, ἐπειδὴ λέγομεν, Γουργουρύζει ἡ κοιλία μου. Ἡ διαφορὰ τῶν ἀρκτικῶν ςοιχείων (Β, Γ, Κ ἢ Μ) προέρχεται ἀπὸ τὴν φύσιν αὐτὴν τῆς ὀνοματοποιΐας· ἡ λέξις σκοπὸν ἔχουσα νὰ παραςήσῃ ἐνάρθρως ψόφον ἄναρθρον, εἶναι ἀδύνατον νὰ ἐκφωνηθῇ ἢ νὰ γραφθῇ πάντοτε καὶ ἀπὸ πάντας μὲ τοὺς αὐτοὺς χαρακτῆρας. Οὕτω τὸ νερὸν, ὅτε ταράσσεται καὶ ἀνασηκόνεται ἀπὸ τὴν ἐνέργειαν τοῦ πυρὸς, λέγομεν ὀνοματοποιητικῶς, ὅτι Βράζει· ἀλλ' οἱ Ἕλληνες ἔλεγαν ἀκόμη καὶ Παφλάζει, καὶ Καχλάζει, ὅθεν μᾶς ἔμεινε τὸ Χοχλάζει.

Μὲ τὸ Ἐβουρβούρυζεν ὁ ποιητής μας ἠθέλησε νὰ παραςήσῃ μεταφορικῶς, ὅτι τόσας ψείρας ἐθησαύριζεν ὁ Κόλπος του, ὥς' ἐξηκούετο ὁ ἦχός των, ὡς βορβορυγμὸς κοιλίας· τοῦτο δὲν εἶναι τόσον ἄνοςον· βωμολοχικώτερον εἶναι τὸ ἑξῆς:

ἈΜΥΓΔΑΛΆΤΑΣ, ἤγουν ἴσας μ' ἀμύγδαλα. Ἀμυγδαλάτος εἶναι ἓν ἀπὸ τὰ βαρβαροσχηματισμένα ὀνόματα εἰς ατος περὶ τῶν ὁποίων ἐλάλησα ἀνωτέρω (σελ. 43), καὶ θέλω λαλήσειν πλατύτερον.

ΨΎΡΑΣ. Τὸ ἄλλο ἀντίγραφον ἔχει Ψήρας. Γράφε Ψείρας, ἀπὸ τοῦ Ψεῖρα· τοῦτο δὲ εἶναι ἀπὸ τοῦ Φθεὶρ, ἀρσενικοῦ Ἑλληνικοῦ. Τὴν αἰτιατικὴν Φθεῖρα, ἐμεταχειρίσθημεν ἀντὶ ὀνομαςικῆς μεταβαλόντες εἰς τὸ θηλυκὸν Ψεῖρα, καθὼς καὶ πολλοτάτων ἄλλων θηλυκῶν περιττοσυλλάβων ὀνομάτων τὰς ἑνικὰς αἰτιατικὰς μεταχειριζόμεθα εἰς τόπον ὀνομαςικῶν, οἷον ἡ Μητέρα, ἡ Θυγατέρα, ἡ Τρίχα, ἡ Λαμπάδα· ὁ βαρβαρισμὸς ἔλαβεν ἀφορμὴν ἀπὸ παλαιὰ παραδείγματα, καὶ εἰς αὐτὴν τὴν Ἑλληνικὴν γλῶσσαν πολλά· ὁποῖα εἶναι τὸ Ἔθειρ καὶ Ἔθειρα (Σουΐδ.), ἡ κόμη τῆς κεφαλῆς, ἡ Μήτηρ καὶ ἡ Μήτειρα (Ἴδ. Ἡσύχ. εἰς τὸ Μήτειρα), τὸ σημερινὸν ἡ Μητέρα. Ὡσαύτως ἡ Δημήτηρ καὶ ἡ Δήμητρα (Θεὰ τῆς γεωργίας), ἡ Γόρτυν καὶ ἡ Γόρτυνα (Πόλις τῆς Κρήτης). Ἔπειτα καὶ αὐτὴ τῶν Λατίνων ἡ γλῶσσα (ἥτις ἀναμφιβόλως εἶναι διάλεκτος τῆς Ἑλληνικῆς) ἐμεταχειρίσθη πολλάκις τὰς τοιαύτας αἰτιατικὰς εἰς τόπον ὀνομαςικῶν, λέγουσα Salamina, Ptolemaïda,

ἡ Σαλαμίνα ἡ Πτολεμαΐδα, ἀντὶ τοῦ ἡ Σαλαμὶς ἡ Πτολεμαΐς. Τὸ ἀξιώτερον ἀπορίας εἶναι, πῶς τὸ φθ (τοῦ Φθεὶρ) μετεβλήθη εἰς Ψ. Ἀλλ' εἶναι φανερὸν ὅτι οἱ Λάκωνες ἐπρόφεραν τὸ Θ ὡς Σ· οὕτως ἔλεγαν Σιὸν τὸν Θεὸν, Ἀσαναίους τοὺς Ἀθηναίους, Ἀγασὼς τοὺς Ἀγαθοὺς, Παρσένον τὴν Παρθένον, κ. τ. λ. Μεταβάλλεται δὲ καὶ τὸ Φ εἰς τὸ Π, ὡς εἶναι τῆς γλώσσης μας ὁ Στρόπος, ἀπὸ τὸν Στρόφον. Πιθανὸν λοιπὸν ὅτι καὶ ἀντὶ τοῦ Φθεὶρ ἔλεγαν Φσεὶρ, ἢ Πσείρ· ἀλλὰ τὸ ΦΣ, καθὼς καὶ τὸ ΠΣ, ἰσοδυναμεῖ μὲ τὸ διπλοῦν Ψ. Διὰ τοῦτο καὶ ἐμετάβαλαν τὴν ἀντωνυμίαν Σφὲ (ὡς νὰ ἦτο Φσὲ) εἰς τὸ Ψὲ, ὅθεν ἐγεννήθη ἡ Λατινικὴ ἀντωνυμία Ipse.

ΣΤΙΧ. 66, ΥΠΕΡΠΥΡΑ.] Οὕτως ὠνόμαζαν οἱ Γραικορωμαῖοι τὰ χρυσᾶ νομίσματα, τὰ κοινῶς ὀνομαζόμενα σήμερον Φλωρία. Ἡ ὀρθὴ γραφὴ εἶναι, Ὑπέρπυῤῥα, ἀπὸ τὸ Πυῤῥὸς, τὸ ὁποῖον σημαίνει τὸ φυσικὸν χρῶμα τοῦ χρυσίου, μάλιστα ὅταν ἦναι εἰς ἄκρον καθαρόν. Τὰ ὠνόμαζαν καὶ τὰ ἔγραφαν καὶ Πέρπυρα (Ἴδ. Ποίημ. Β', στίχ. 80), ἀφαιροῦντες τὴν πρώτην συλλαβήν.

ΜΑΝΟΥΛΑΤΑ. Ἐπίθετον τῶν ὑπερπύρων, ὅσα εἶχαν τὴν εἰκόνα τοῦ Αὐτοκράτορος Μανουὴλ τοῦ Κομνηνοῦ, πρὸς τὸν ὁποῖον προσφέρεται τὸ ποίημα τοῦτο· ὡς ὠνόμαζαν Κωνσταντινάτα ὅσα ἔφεραν τὸν τύπον τοῦ Κωνσταντίνου. Ἴδε περὶ τούτων τὰ ἑξῆς (Ποίημ. Β'. στίχ. 583) σημειωμένα.

ΣΤΙΧ. 67, ΚΑΒΑΔΙΝ εἶχεν στούππινον τζαντζαλοφορεμένον.] ΔΓ,

Τζάντζαλον εἶχε στούπινον, καβάδιν λερωμένον.

ΚΑΒΑΔΙΝ, κατὰ συγκοπὴν ἀντὶ τοῦ Καβάδιον. Εἰς τοὺς Γραικορωμαίους εὑρίσκεται καὶ Καββάδιον μὲ δύο β καὶ Καβάδης ἀρσενικῶς· ὁ Σαλμάσιος τὸ ἐτυμολογεῖ ἀπὸ τὸ Capa ἢ Cappa τῶν Ἰταλῶν (Γαλλ. Capote), τὴν ὁποίαν καὶ εἰς τὴν κοινὴν ἡμῶν γλῶσσαν Κάππαν ὀνομάζομεν (Ἴδ. κατωτέρ. στίχ. 361-362). Πιθανώτερον ἔλεγεν ὁ Τζέτζης (Χιλιαδ. ΙΒ', στίχ. 792), ὅτι τὸ Καβάδιον ἢ ὁ Καβάδης ἔλαβε τὴν ὀνομασίαν ἀπὸ τοὺς Πέρσας,

Ἔσθημα ἐνυάλιον, στρατιωτῶν τὸ εἶμα,
Ὅπερ Καβάδης λέγεται ἀπὸ Καβάδου Πέρσου.

Τῆς αὐτῆς γνώμης εἶναι καὶ ὁ Κωδῖνος, ἐπειδὴ λέγει, ὅτι οἱ Αὐτοκράτορες τῶν Ῥωμαίων ἔλαβαν τὴν χρῆσιν τοῦ Καβαδίου ἀπὸ τοὺς Ἀσσυρίους.

ΣΤΟΥΠΙΝΟΝ, ἀντὶ τοῦ Στύπινον ἀπὸ τὸ ςυπίον ἢ ςυπεῖον (τὸ ὁποῖον καὶ μὲ δύο π γράφεται) καὶ κοινῶς στουπίον, κατὰ τὴν συνειθισμένην τροπὴν τοῦ ῡ εἰς τὴν ου δίφθογγον (Ἴδ. σελ. 45). Τὸ Στυπίον εἶναι ὑποκοριςικὸν τοῦ θηλυκοῦ ὀνόματος Στύπη, ὅθεν τὸ Stupa τῶν Λατίνων, τὸ Stoppa τῶν Ἰταλῶν, τὸ Étoupe τῶν Γάλλων, τὸ Estopa τῶν Ἰσπανῶν, τὸ Στοῦπα, τῆς κοινῆς ἡμῶν γλώσσης, καὶ τὸ ἀπὸ τούτου ῥῆμα Στουπόνω (Ἰταλ. Stoppare, Γαλλ. étouper, Ἀγγλ. to stop, Γερμαν. stopfen), ἤγουν φράσσω μὲ ςουπίον· καὶ προσέτι τὸ ἀπρόσωπον Στουπίζει, ἤγουν Χιονίζει, ὅτι δηλαδὴ τὰ χιόνια καταβαίνουν ὡς ςουπία, ἢ ὡς μαλλία, καθὼς λέγει ὁ Δαυὶδ (Ψαλμ. 147) « Διδόντος χιόνα ὡσεὶ ἔριον » κατὰ μεταφορὰν ὁμοίαν τοῦ Ἰταλικοῦ Fioccare (Γαλλ. neiger bien fort). Τὸ Στουπίζω, προσωπικὸν, σημαίνει ἀκόμη εἰς ἡμᾶς τὸ Κοπανίζω (piler), τὸ ὁποῖον ἐσύγχυσεν ὁ Δουκάγγιος (σελ. 1455) μὲ τὸ Στουπόνω. Καὶ ἐκ τούτου φαίνεται, ὅτι εἶναι τῆς αὐτῆς συγγενείας ῥήματα τὸ Τύπτω καὶ Στύπω, ὅθεν καὶ τὸ Στυπάζω (Ἴδ. περὶ τῆς προσθήκης τοῦ σ, Ἡλιοδώρ. Β, σελ. 184)· τὸ ὁποῖον ἐκατάλαβε καὶ ὁ Ἐτυμολόγος (σελ. 731), « Στυπεῖον τὸ τυπτόμενον λινάριον, κατὰ » πλεονασμὸν τοῦ σ· τυπεῖον γὰρ, καὶ αὐτὸ παρὰ τὸ τύπτω ». Ἐνδέχεται καὶ ἁπλῶς τὸ Στουπίζω, ὡς τῶν παλαιῶν τὸ Στυπάζω νὰ παράγεται ἀπὸ τοῦ Στύπος, τὸ σημαῖνον ςέλεχος ἢ κορμὸν δένδρου, ὅθεν γίνονται οἱ κόπανοι· ὅθεν σημαίνει τὸ Στουπίζω, μὲ ςύπος κτυπῶ, ὡς τὸ Κοπανίζω, μὲ κόπανον κτυπῶ.

ΤΖΑΝΤΖΑΛΟΦΟΡΕΜΕΝΟΝ. Λέξις σύνθετος ἀπὸ τὸ Φορῶ καὶ Τζάντζαλον. Τζάντζαλον (ἀπὸ τὸ Ἰταλικὸν Cencio, ὑποκοριςικῶς, Cencerello) ὀνομάζομεν τὸ παλαιὸν, κατατριμμένον καὶ ἄχρηςον φόρεμα (guenille ἢ haillon).

